# ΒΙΟΣ

# ΓΡΗΓΟΡΙΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ

## ΕΙΡΗΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΒΑΤΟΠΑΙΔΙΟΥ.

ΥΠΟ

ΣΟΦΟΚΛΕΟΥΣ Κ. ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ

*Ἰατροῦ καὶ χειρουργοῦ κτλ.*

**ΑΘΗΝΗΣΙ.**

ΤΥΠΟΙΣ Φ. ΚΑΡΑΜΠΙΝΗ καὶ Κ. ΒΑΦΑ.

(Παρὰ τῇ ὁδῷ ΒΥΣΣΗι ἀριθ. 302).

—

ΑΩΞ.

# ΒΙΟΣ

## ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΕΙΡΗΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΒΑΤΟΠΑΙΔΙΟΥ.

§. α. ΦΙΛΩΝ ἐκεῖνος, ὁ Ἰουδαῖος φιλόσοφος καὶ μάλιστα ἐν τοῖς Ἑλληνισταῖς θαυμαζόμενος, ὦ Δημήτριε, πρὸς τὰ δαψιλῶς παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ τῷ τῆς Ἑλλάδος κλίματι δωροφορηθέντα ἐνατενίζων τοὺς ὀφθαλμούς, καὶ νήφοντι λογισμῷ τὰς ἐν πᾶσιν ὑπὲρ πάντας μονονοὺκ ἐπιδόσεις τῶν Ἑλλήνων καθορῶν καὶ φιλοσοφῶν ἐμβριθῶς, «Μόνη, ἀνέκραξεν, ἡ Ἑλλὰς ἀψευδῶς ἀνθρωπογονεῖ, φυτὸν οὐράνιον καὶ βλάστημα θεῖον, ἠκριβωμένον λογισμὸν ἀποτίκτουσα, οἰκειούμενον ἐπιστήμῃ· τὸ δ' αἴτιον· λεπτότητι ἀέρος ἡ διάνοια πέφυκεν ἀκονᾶσθαι. Διὸ καὶ Ἡράκλειτος οὐκ ἄπο σκοποῦ φησιν· Οὗ γῆ ξηρά, ψυχὴ σοφωτάτη καὶ ἀρίστη» (α). Ὁμοίως δὲ καὶ ὁ τὸν Πυθαγόρου ἀναγράψας βίον ἀπεφήνατο (β). Καὶ ἀληθῶς

(α) Φίλων περὶ προνοίας παρ' Εὐσεβίῳ Εὐαγγελ. Προπαρασκ. Βιβλ. Η. σελ. 235. Lutet. 1554. Ὁ δὲ Πλούταρχος ἄλλως ἀναγνούς, ἢ γοῦν κατὰ σκοπὸν μεταβαλών, ὡς εἴωθε πολλάκις, τὸ χωρίον τοῦ Ἡρακλείτου, «Αὔη γάρ, λέγει, ψυχὴ [καὶ] ξηρά, ἀρίστη καθ' Ἡράκλειτον» (Βίῳ Ῥωμύλ. §. κη. ἐκδ. Κοραῆ).

(β) Οἱ Ἕλληνες ἀεὶ ἀμείνους τὰ ἤθη τῶν βαρβάρων, ὡς τὴν εὔκρατον οἰκοῦντες. . . . Διὸ καί, ὡς ὁ Πλάτων φησίν, ὅ,τι ἂν καὶ παρὰ Βαρβάρων μάθημα λάβωσιν οἱ Ἕλληνες, τοῦτο ἄμεινον ἐκφέρουσι.... Μάλιστα δὲ τῶν ἄλλων Ἑλλήνων οἱ Ἀθηναῖοι· διὸ οὐδ' ἐπείσακτός ἐστιν, ὡς εἰπεῖν, ἡ παιδεία ἐν ταῖς Ἀθήναις,

(εἰ καὶ μὴ διὰ μόνον τὸ κλίμα, ἀλλὰ καὶ τὰ ἔθη καὶ τὴν ἄσκησιν (α), καὶ τὴν ἐξ ἧς ταῦτ' ἀγαθὴν ἀδίδακτον φύσιν (β),) οὐ μόνον γενναίων λόγων καὶ μαθημάτων καὶ ὅλως πάσης ἐπιστήμης καὶ τέχνης βιωτικῆς ἀγλαοὺς καρποὺς τοῦτο τὸ τῆς Ἑλλάδος οὐράνιον φυτὸν παρήγαγεν, ἀλλὰ καὶ ἔργων ἀξιαγάστων ἀνέδειξεν ἀγλαΐσματα περίδοξα καὶ ὑπερφυᾶ, ὥστε καὶ ὁ τῶν φιλοσόφων ἄκρος Ἀριστοτέλης διαῤῥήδην ἀπεφήνατο τοῦτο «καὶ δυνάμενον ἄρχειν πάντων, μιᾶς τυγχάνον πολιτείας» (γ). Καὶ ταῦτ' ἔφερε καὶ ἐζωογόνει οὐ μόνον ἀκμάζουσα καὶ εὐθηνοῦσα ἡ ἀγαθὴ καὶ ἐκλεκτὴ αὕτη γῆ, ἀλλὰ καὶ δῃουμένη καὶ μυριαχῶς κειρομένη ὑπό τε Γαλατῶν (δ), καὶ Ῥω-

---

ἀλλ' ἐκ φύσεως ὑπάρχουσα, τοῦ τοιούτου (ἴσ. γρ. τούτων) ἀέρος ἰσχνοτάτου ὄντος καὶ καθαρωτάτου». Φωτ. Μυριοβίβλ. Ἀναγ. σμθ. σελ. 1319.

(α) «Τῆς δ' οἰκησίμου, τὸ μὲν δυσχείμερον καὶ τὸ ὀρεινὸν μοχθηρῶς οἰκεῖται τῇ φύσει· ἐπιμελητὰς δὲ λαβόντα ἀγαθοὺς καὶ τὰ φαύλως οἰκούμενα καὶ λῃστρικῶς, ἡμεροῦται. Καθάπερ οἱ Ἕλληνες, ὄρη καὶ πέτρας κατέχοντες, ᾤκουν καλῶς διὰ πρόνοιαν τὴν περὶ τὰ πολιτικὰ καὶ τὰς τέχνας καὶ τὴν ἄλλην σύνεσιν τὴν περὶ τὸν βίον». Στράβ. Γεωγρ. Β. σελ. 126, 127. Πρβλ. καὶ σελ. 102, 103.

(β) Βλ. Wil. Mure, A critical History of the language and litterature of ancient Greece. T. 1. p. 89. London, 1850. Πρβλ. καὶ ὅσα ἰατρικώτερον περὶ τούτου εἴπομεν ἐν τῷ περὶ Μάρκου τοῦ Κυπρίου σελ. 7—8.

(γ) Ἀριστοτ. Πολιτ. Ζ. ς. 1. σελ. 216 ἐκδ. Κορ.

(δ) Βλ. Παυσαν. Α. 4, 8. Ι. κγ. —Πολύβ. Θ, κθ. — Στράβ. ΙΒ. 566. ΙΓ. 624. Τότε καὶ εἰς τὴν Ἀσίαν διαβάντων αὐτῶν, καὶ γυναῖκες παρθένοι Μιλήσιαι γενναίως ἀπέθανον «τὰν ἄνομον Γαλατᾶν ὕβριν ἀναινόμεναι», κατὰ τὴν Μιτυλιναίαν ποιήτριαν Ἀνύτην (βλ. Fr. Jacobs Delect Epigrammat. Graecor. pag.

μαίων (α), καὶ Βανδάλων, καὶ Γότθων, καὶ Οὔννων (β), καὶ ἄλλων ἀλλοφύλων ἐθνῶν, μάλιστα δὲ τῶν σταυροπατῶν Σταυροφόρων καὶ Γενουϊτῶν καὶ Βενετῶν (γ), καὶ τέλος τῶν τῆς δουλίδος Ἄγαρ υἱῶν, οἵτινες εἰσώρμησαν εἰς αὐτὴν

---

435. καὶ τοῦ ἀοιδίμου ἡμῶν Πατρὸς, περὶ τῶν Ο, Ἑρμηνευτῶν. Τόμ. Β. σελ. 552). Εἰς μνήμην τῆς κατατροπώσεως τῶν βαρβάρων τούτων ἐτελεῖτο ἀγὼν Σωτηρίων ἐν Δελφοῖς καὶ Ἀθήνησιν, ὡς γίνεται δῆλον ἔκ τε τοῦ πρὸ μικροῦ ἀνακαλυφθέντος καὶ ἐκδοθέντος ψηφίσματος, οὗ ἡ ἀρχὴ «Ἐπὶ Πολυεύκτου ἄρχοντος» (βλ. Ἐπιγραφ. ἑλληνικ. κατὰ τὸ πλεῖστον ἀνέκδοτοι. σελ. 31. Ἀθήνησι, 1860) καὶ ἐξ ἄλλων ἀρχαίων μνημείων (βλ. Rangabé Antiquités Helléniques T. 2. p. 699). —(α) Βλ. Στράβ. Ζ. 322. Η. 381. 385.

(β) Βλ. Ἀγαθίαν Ἱστορ. Ε. σελ. 299—300. ἐκδ. Bon. – Muralt Essai de Chronograph. Byzantine p. 31, 33, 42. κτλ.

(γ) Πάντων τούτων τῶν τὴν Ἑλλάδα προνομευσάντων ἐθνῶν τὰς ποικίλας θηριωδίας ἀναγράφει τῆς ἀδυσωπήτου ἱστορίας ὁ ὀξυγράφος κάλαμος, τοῖς προσήκουσι χρώμασιν ἑκάστην διατυπῶν. Σημειωτέον δὲ ὅτι, τὴν μελανωτάτην πασῶν ψήφων ὁ ἀμερόληπτος οὗτος τῶν ἀνθρωπίνων πράξεων κριτὴς φέρει τοῖς τελευταίοις τρισίν, οἵτινες ἐπέσπευσαν τὴν ἀπώλειαν τοῦ Βυζαντινοῦ κράτους καὶ ἐγένοντο ἀληθεῖς πρόδρομοι καὶ τυφλοὶ ὑπηρέται τῶν Ἀγαρηνῶν. Καὶ τὴν παμβόητον ταύτην ἀλήθειαν τρανῶς διακροτοῦσιν οἱ μνείαν αὐτῶν ποιούμενοι Βυζαντινοὶ ἱστορικοί, καὶ ἰδίᾳ ὁ τὰ ἔσχατα τῶν κακουργημάτων περιπαθῶς ἱστορήσας Νικήτας ὁ Χωνιάτης, λέγων· « Καὶ πᾶς μὲν ἕτερος πολέμῳ τὸ ἀντίπαλον χειρωσάμενος, κακῶς αὐτῷ κέχρηται καὶ ἀνελεημόνως προσφέρεται... λατῖνος δὲ ποθήσας τὸ ἀντιπῖπτον καὶ ὑποχείριον ἐργασάμενος, ἀνύποιστόν ἐστι μάλιστα κακὸν καὶ λόγῳ ἀπεριήγητον . . . ποία γὰρ θανατηφόρος ἔχιδνα, ἢ πτερνοφύλαξ ὄφις ὀλέθριος, ἢ ταυροφόντης λέων τὰ τῶν βρωμάτων ἔωλα παρορῶν, θερμῆς δ' ἔτι τῆς θήρας ἐμφορούμενος, οὕτως ἂν ἐλυμήνατο, ὡς ἀπανθρωπία λατίνη ζωγρήσασα; Οὐκ ἐπικλᾶται λιταῖς, οὐ θηλύνεται δάκρυσιν, οὐχ αἱμύλοις ἱλαρύνεται φθέγμασι . . . μόνῳ οἱ τοῦ γένους τούτου τῷ θυμῷ χαρίζεσθαι ἴσασι,

Ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
Ἥ ρα θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
Θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
Κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης
Κυρτὰ φαληριόωντα, πρὸ μὲν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα (α),

καὶ ὡς χείμαῤῥοι παρασύροντες πᾶν τὸ προστυχὸν προσράξαντες εἰς τὸ οἰκοδόμημα, κατέῤῥιψαν μὲν αὐτοῦ πολλὰ μέρη, ἀλλὰ τὰ θεμέλια οὐκ ἴσχυσαν κατασεῖσαι. Εἰσὶ γὰρ τεθειμένα στεῤῥὰ καὶ ἀσάλευτα ὑπὸ τῆς τοῦ παντοδυνάμου χειρὸς ἐπὶ τὴν ἄῤῥαγῆ τῆς πίστεως πέτραν, ἥτις διέσωσε τὸ ἑλληνικὸν ἔθνος ἀπὸ τοσούτων κλυδώνων. Αὕτη ἡ πίστις διετήρησεν ἐν τῇ Ἐκκλησίᾳ, ὡς ἐν μυστηριώδει τινὶ κιβωτῷ, ἀνθισταμένῃ πρὸς τὰς τοῦ κόσμου λαίλαπας καὶ τρικυμίας διὰ τῆς σωτηριώδους ἐπιῤῥοῆς τοῦ οὐρανίου

---

καὶ οἷς οὗτος ἐπιτάσσει ὀργίλως ὑπενδιδόναι πεφύκασι. Τί δ' ἂν κακὸν εἴη παρεικῶς ἀτέλεστον ἀνὴρ μισοῤῥώμαιος καὶ τοσαύτην ἀποθησαυρίσας ἐν ἑαυτῷ καθ' Ἕλληνος ἀνδρὸς ἀπέχθειαν, ὁποίαν οὐδ' ὄφις αὐτός, ὁ ἀρχαῖος τοῦ ἀνθρωπίνου γένους ἐπίβουλος, συνειληφὼς ἀπέτεκε πάλαι; Ἐπεὶ καὶ παραδείσῳ μὲν ἄντικρυς παρὰ τοῖς καταρωτάτοις λατίνοις εἰκάζεται ἣν ἡμεῖς ἐλάχομεν οἰκεῖν καὶ ἀποκαρπεύεσθαι, καὶ δυσέρωτες ὄντες τῶν παρ' ἡμῖν ἀγαθῶν κακογνωμονοῦσιν ἀεὶ περὶ τὸ ἡμέτερον γενος καὶ κακῶν εἰσι τέκτονες διὰ παντός. Κἂν φιλεῖν πλάττωνται τὸν καιρὸν ὑποδυόμενοι, μισοῦσιν ὡς ἔχθιστοι· κἂν ὁ λόγος αὐτοῖς εὐπροσήγορος καὶ ὑπὲρ ἔλαιον ῥέων ἀψοφητὶ ἁπαλύνηται, ἀλλὰ βολίδες εἰσὶ καὶ οὕτως αὐτοὶ καὶ μαχαίρας ἀμφιστόμου τομώτεροι» (Νικ. Χωνιάτ. Χρονικ. διηγήσ. σελ. 390—391. πρβλ. καὶ σελ. 729, 742. 854—868. ἐκδ. Bon.). Συνῳδὰ δὲ λέγει καὶ Γρηγορᾶς· «Τί γὰρ οὐκ ἂν ἔδρασαν ἔθνος αἱμοβόρον, οἱ Σκύθαι, χριστιανοῖς ἐπιβρίσαντες ἀπηνῶς; Οἱ δὲ Λατῖνοι οὐδὲν ἡμερώτερον τῶν Σκυθῶν διετέθησαν, ὅτι μὴ καὶ πολλῷ τῷ μέτρῳ τὴν Σκυθικὴν ἀπήνειαν ὑπερέβησαν» (Ῥωμαϊκ. Ἱστορ. Β. 2. Τόμ. α. σελ. 27. ἐκδ. Bon.). — (α) Ὁμηρ. Ἰλιάδ. Ν. 795—800.

φέγγους (α), σῶον καὶ ἀκέραιον καὶ τὴν ὀρθόδοξον διδασκαλίαν καὶ τὴν πάτριον φωνὴν μετὰ τῆς λοιπῆς αὐτοῦ κληρονομίας (β). Αὕτη ἡ πίστις ἐμπνέουσα καρτερίαν ἀκατανίκητον εἰς τὰς ψυχὰς τῶν καταδιωκομένων, οὕτως ἐξῆρεν αὐτῶν τὸ φρόνημα, ὥστε συχνὰ αἵματα μαρτυρικὰ ἐφοίνισσον κατακοσμοῦντα τὴν οὐράνιον πορφύραν τῆς Ἐκκλησίας, καὶ ἐξῆπτον τὸν ζῆλον τῶν πιστῶν (γ), καὶ

---

(α) Βλ. Στούρζα Μελέτ. θρηστευτικαί. σελ. 161. Ἰασίῳ, 1844.

(β) Βλ. τοῦ ἡμετέρου Πατρὸς Ἐπίκρισιν σελ. 35.

(γ) «Αἱ γὰρ τῶν μαρτυρικῶν ἄθλων διηγήσεις τοὺς πυραυγεῖς σπινθῆρας (ἴσ. γρ κατὰ τούς. ἤγουν, ὡς πυραυγεῖς σπινθῆρες) ἡμῖν τὴν πρὸς Θεὸν ὑπανάπτουσι φλόγα, καὶ τοὺς φιλοχρίστους πρὸς εὐζωΐαν σφόδρα διανιστῶσι, κἂν τῇ ψυχῇ, ὥσπερ ἀγαθῇ ἀρούρᾳ, τὰ γόνιμα τοῦ ζωοποιοῦντος πνεύματος σπέρματα ἐπὶ μεῖζον αὔξουσι». Γ. Κορέσσιος Ἀκολουθ. ᾀσματικ. τοῦ ἁγίου μάρτυρος Θεοφίλου. σελ. 18. ἐν Ζακύνθῳ, 1856. Μνημονεύσαντες τοῦ πονήματος τούτου τοῦ πολυμαθοῦς ἐν ἰατροῖς θεολόγου, καλὸν ἡγούμεθα μετὰ τοῦ προσήκοντος εἰς τὸν ζῆλον τοῦ ἐκδόντος αὐτὸ ἐπαίνου παραλιπόντες τὰ ἐν αὐτῷ περὶ τὴν στίξιν καὶ γραφὴν πολλαχοῦ ἐσφαλμένα, (καί τοι καὶ ταῦτα οὐ μικρὰ πράγματα τῷ ἀναγνώστῃ παρέχοντα, δοκοῦντα δ' οὖν τῶν τυπογράφων μᾶλλον παροράματα), σημειώσασθαί τινα τῶν ἐν τῷ λόγῳ διαφυγόντων τὴν ὀξυδέρκειαν τοῦ διορθοῦντος, ὡς μᾶλλον τὸν νοῦν διαλυμαινόμενα καὶ διορθωτέα δοκοῦντα, εἴ τι καὶ ταῦτα εἰς τελειοτέραν συντελέσουσιν ἔκδοσιν. Καὶ τοίνυν Σελ. 17. στίχ. 23 μετὰ τὸ «*παρισουμένης*» ἐκπεπτωκέναι δοκεῖ τὸ ἄρθρον «τῆς», ἵν' ᾖ «*παρισουμένης τῆς*... προόδου τῷ μεγέθει» κτλ. — Σελ. 18. στίχ. 17 παρέλκειν δοκεῖ ἡ πρόθεσις «ἐξ»· τῷ γὰρ «ῥεούσης» ἀντιτίθεται τὸ «ἀϊδίου». στίχ. 34. Τρεπτέον δοκεῖ τὸ «ἤδη» εἰς «ἔδει» πρὸς ἀποφυγὴν τοῦ ἐν τῷ λόγῳ ἀσυναρτήτου καὶ ἐκκρεμοῦς. —Σελ 19 στίχ. 5–6 μετατεθεῖσθαι δοκεῖ τὸ ἄρθρον πρὸ τοῦ «Θεόφιλος» ἀπὸ τῆς πρὸ τοῦ «μάρτυς» προσηκούσης θέσεως. — στίχ. 21 ἔσφαλται τὸ «αἷμα» ἀντὶ τοῦ «ἅμα», ἀδιανόητον τὸ χωρίον καθιστάν. —Σελ. 20. στίχ. 12. Τρεπτέον δοκεῖ τὴν δοτικὴν «τῷ» εἰς αἰτιατικὴν

ἐβλάστανον εἰς τὴν θυμόσοφον ταύτην γῆν τῆς ὀρθοδοξίας εὐθαλῆ καὶ καλλίκαρπα φυτὰ ψυχοτρόφων ἀρετῶν. Καὶ ἔστιν ἐνταῦθα θαυμάζειν μάλιστα μετὰ τοῦ Οὐρανοβάμονος τὸ βάθος τοῦ θείου πλούτου καὶ τῆς σοφίας καὶ τὸ ἀνεξιχνίαστον τῶν κριμάτων τῆς θείας προνοίας, ἥτις ἀείποτε ἐθαυματούργει πανσόφως, ἵνα πάντα μονονουχὶ τὰ δόλια τῶν τυράννων κατὰ τῆς ὀρθοδοξίας ἐπινοήματα εἰς ὄφελος τοῦ ἐπιβουλευομένου λαοῦ μεταστρέφωνται (α), καὶ

---

«τὸ», ἵν' ᾖ « διὰ τὸ . . . γίγνεσθαι ».— στίχ. 14. τὸ ἀδιανόητον «πατρὶ» ἐκ τοῦ «παντὶ» παρεφθάρθαι δοκεῖ. –Σελ. 22 στίχ. 7—12 ὅλως ἀδιανόητον τὸ χωρίον, καί μοι δοκεῖ οὕτω γραπτέον «ὅμως; . . . . σκληρύνειν (οὓς . . . πλάττει [ἢ πλάττων]. . . λέγεται) κατὰ τὴν δι' ἐπικαρπίαν δ. κτλ. — Σελ. 23 στίχ. 23 τὸ «δικαίου» τρεπτέον δοκεῖ εἰς «δικαίως». Περὶ δὲ τῶν ἐν τῇ αἰχμαλωσίᾳ μαρτυρησάντων ἁγίων Βλ. τοῦ ἀειμνήστου Εὐγενίου τὴν πρὸς Κλαίρκιον ἐπιστολήν. σελ. 28—33. Ἀθήνησι, 1844.

(α) Ἀληθῶς ἐνταῦθ' ἐστιν ἐνιδεῖν μάλιστα τὴν ἀλήθειαν τῶν ὧν σοφῶς ὁ ἱερὸς Φώτιος ἀπεφήνατο· « Εἴωθε, λέγων, ὡς ἐπίπαν ἡ ἀπερινόητος τοῦ Θεοῦ σοφία ἐκ τῶν ἀνιαρῶν προάγειν ἃ χαρᾶς ἐστι καὶ εὐφροσύνης παρεκτικά, καὶ ἐκ τῶν ἐναντίων πηγάζειν τὰ ἀντικείμενα· » καὶ πάλιν « Θεὸς μόνος εἰδείη ἂν τῶν ἑαυτοῦ κριμάτων τὴν εὐθύτητα, πάντως πρὸς τὸ ἐπωφελὲς καὶ σωτήριον τῶν πασχόντων τῶν ἐπ' αὐτοῖς γινομένων λαμβανόντων τὴν ἔκβασιν» (Ἀμφιλοχ. Ζήτημ· ΚϚ'. §. δ. σελ. 48 καὶ ΡΝ. §. κδ. σελ. 236. προβλ. καὶ Ζήτημ. ΙΑ. §. β. σελ. 24 καὶ Μ. Βασίλ. Ὁμιλ. Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Τόμ. Α. σελ. 423—427 ). Ἃ γὰρ ὁ τύραννος κατὰ τῶν ὑποτασσομένων ἐτεκταίνετο ὑπὲρ ἑαυτοῦ, ταῦτα σχεδὸν πάντα παρ' ἐλπίδα αὐτοῦ σωτήρια τοῖς ἐπιβουλευομένοις ἐγένοντο. Οὕτω Μουράτης ὁ Β' ἐκώλυσε τοὺς ὑπ' αὐτὸν λαοὺς τῆς μικρᾶς Ἀσίας, Μακεδονίας, Θρᾴκης καὶ Θεσσαλίας τοῦ ἀναγνωρίσαι τὰ κατὰ τὴν ἐν Φλωρεντίᾳ ψευδοσύνοδον ἀνοσίως κυρωθέντα ( βλ. Rampoldi Annali Musulmani Tom. XI. p. 435. Milano, 1825). Ὁ δὲ δορυκτήτωρ Μωάμεθ ὁ Β' ἐπέτεινε τὴν πρὸς τοὺς Δυτικοὺς

παγιῶται τὸ ἐθνικὸν φρόνημα, δι' ὧν ἐν ὅλῳ τῷ τῆς μα-

---

δυσπιστίαν τῶν Ὀρθοδόξων. Ὅθεν καὶ πρὸς τὸν σοφώτατον καὶ ζηλωτὴν Γεννάδιον, τὸν ἀπὸ τῆς μονῆς τῆς Παμμακαρίστου βέλη πυρφόρα βάλλοντα κατὰ τῆς παποκρατείας, ἐξαίρετον ἐδείκνυεν εὔνοιαν, καὶ εἰς τὰς μετὰ τῶν Ἐνετῶν συνθήκας ἐκύρωσεν ἵνα διαμένῃ τῶν ὑπὸ τοὺς Ἐνετοὺς Ἑλλήνων ἡ πνευματικὴ ἐξάρτησις ἀπὸ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας (βλ. J. Rizo Néroulos Hist. moderne de la Grèce etc. p. 27. Genèv. 1828). Ἀπηγόρευσεν αὐστηρῶς τὴν ἐπιγαμίαν τῶν Ὀθωμανῶν μετὰ τῶν ὀρθοδόξων· ἐξωστράκισεν αὐτὸς πρῶτος τοὺς μοιχοὺς τῶν Ἑλληνικῶν νήσων καὶ ἄλλων χωρῶν Βενετοὺς καὶ Γενουΐτας. Καὶ τέλος τοῦτο δεικνύουσι μετὰ πολλῶν ἄλλων καὶ αὐτὰ τὰ τῷ κλήρῳ δωρηθέντα προνόμια κακοβούλως (βλ. τοῦ ἡμετέρ. Πατρὸς Λόγ. Ἐκκλησιαστ. σελ. 23.) καὶ ἡ τοῦ Οἰκουμενικοῦ πατριάρχου ἐλευθέρα ὑπὸ τοῦ ἔθνους καὶ τοῦ κλήρου ἐκλογὴ (τῆς ἐκκλησιαστικῆς ἐλευθερίας τὸ κεφάλαιον, ὅπερ οὐκ οἶδ' ὅπως τινὲς ξέναις εἰσηγήσεσι καὶ ἐπιβουλαῖς δουλεύοντες σπουδάζουσιν ἤδη καθελεῖν·) καὶ ἀπόλυτος ἄδεια εἰς τὴν συχνὴν μετὰ τῶν ἐκτὸς τῆς Ὀθωμανικῆς ἐπικρατείας ὀρθοδόξων ἐκκλησιῶν κοινωνίαν, ἐξ ἧς ἡ Μεγάλη τοῦ Χριστοῦ ἐκκλησία ὡς ἀπὸ κέντρου φιλαδέλφως ἐνεργοῦσα ἐπὶ τῶν ἐν Ἰταλίᾳ καὶ ἀλλαχοῦ ὀρθοδόξων παροικιῶν, ἐκράτυνε τὴν ὀρθοδοξίαν αὐτῶν καὶ ὑπομονὴν μητρικαῖς παραινέσεσι (βλ. τὴν τοῦ πατριάρχου Ἱερεμίου ἐπιστολὴν πρὸς τὸν Φιλαδελφείας Γαβριὴλ τὸν Σεβῆρον ἐν Τόμῳ Ἀγάπης σελ. 541), καὶ πατρικῇ προστασίᾳ καὶ τελεσφόρῳ ὑπερασπίσει αὐτῶν πρὸς τοὺς ἄρχοντας καὶ τοὺς τῇ ἐκκλησίᾳ κατεπεμβῆναι σπουδάζοντας (βλ. Μαξίμου τοῦ πατριάρχου τὴν πρὸς τὴν Ἐνετικὴν ἐξουσίαν ἐπιστολὴν παρὰ τῷ φιλοπάτριδι καὶ ζηλωτῇ τῶν καλῶν Π. Χιώτῃ Ἱστορικ. Ἀπομνημον. τῆς νήσου Ζακύνθου τόμ. Β. σελ. 508. καὶ Ἱερεμίου τὴν πρὸς τὸν Δόγην Νικόλαον, ἣν οὔπω ἐκδοθεῖσαν, ὅσον ἡμεῖς γινώσκομεν, ἐκδίδομεν χάριν τῶν φιλομαθῶν ἐν τῷ τέλει τοῦ παρόντος, παρ' ἀξιολόγου τῶν πατρῴων ζηλωτοῦ ἐκ τοῦ Ἐνετικοῦ Ἀρχείου ἀντίγραφον αὐτῆς λαβόντες)· καὶ μετὰ τῆς ἐν Ῥωσσίᾳ ἐκλεκτῆς θυγατρὸς ἀδιάσπαστον τηροῦσα τὸν πνευματικὸν σύνδεσμον καὶ τὰ εἰκότα προσφέρουσα ἐλάμβανε παρ' αὐτῆς ἄξια τὰ θρέπτρα καὶ ἀνταποδόματα. Ἡ γὰρ μεγα-

κρᾶς αἰχμαλωσίας παγχαλέπῳ διωγμῷ, τῷ πᾶσαν ἀγαθῶν

---

λουργὸς Ῥωσσικὴ Μοναρχία ἐπὶ τῆς πέτρας τῆς Ὀρθοδοξίας καθηδρασμένη, πατρῷον καὶ θεοδώρητον κλῆρον λαχοῦσα τὴν βασιλικὴν προστασίαν τῆς ἁγίας καθολικῆς καὶ Ἀποστολικῆς ἐκκλησίας, οὐ διέλιπε περιέπουσα θεοφιλῶς καὶ φιλοστόργως αὐτήν, ὡς *βλαστὸς τοῦ ἀρχαίου αὐτοκρατορικοῦ οἴκου τῶν Βυζαντινῶν* ( κατὰ τὴν συνοδικὴν ἔκφρασιν τοῦ πατριάρχου Ἰωάσαφ. βλ. Ἱστορίαν τῆς Ῥωσσικῆς ἐκκλησίας μεταφρ. ὑπὸ Θ. Βαλλιάνου σελ. 114. καὶ Γ. Μαυροκορδάτου Ἡ καλλιγόνος μήτηρ σελ. 42). Ἐκ τοῦ πνευματικοῦ τούτου συνδέσμου πρώτη ἡ Ῥωσσία κατενόησε τὰς τῶν Ἑλλήνων ἀρετάς, ὅτι τελεώτερον καλλιεργούμεναι ἠδύναντο καρποφορῆσαι καρποὺς γενναίους καὶ κοινωφελεῖς, ἐν ᾧ πᾶσα ἐν γένει ἡ Εὐρώπη κατὰ τὰς ἀναφορὰς τῶν ἐν Ἑλλάδι παπιστῶν αὐτῆς ὁμογενῶν ἐνόμιζε τοὺς ὀρθοδόξους τῆς Ἑλλάδος κατοίκους ὀλίγων καὶ πονηρῶν σχισματικῶν φῦλον ἀθλιώτατον, ὅπερ ἔμελλε παντελῶς ἐκλιπεῖν, ὡς ἔνοχον τῇ τοῦ Ῥώμης ποντίφηκος ἀρᾷ, εἰς ὃν οὐκ ἤθελεν ὑποταγῆναι. Ὅθεν ἡ ὀρθοδοξοτάτη καὶ τρισμεγίστη Αἰκατερίνα, ἥτις διὰ τῆς ἐν Καϊναρτσικίῳ (τῷ 1774) εἰρήνης ἀνηγορεύθη τῆς ὀρθοδόξου ἐκκλησίας προστάτις, κατηνάγκασε τὴν Ὀθωμανικὴν δυναστειαν ἵνα διατηρῇ καθ' ὅλον τὸ κράτος αὐτῆς σῴαν καὶ ἀλύμαντον τὴν ὀρθόδοξον ἐκκλησίαν· καὶ πάλιν διὰ τῆς ἐν Ἰασίῳ εἰρήνης (τῷ 1792) ἀνενέωσεν ἰσχυρότερα τὰ ἐν Καϊναρτσικίῳ περὶ τῆς τῶν Ἑλλήνων καὶ Δακῶν χριστιανῶν προστασίας καὶ ἀσφαλείας ὡμολογημένα. Αὐτὴ καὶ σχολεῖον στρατιωτικὸν Ἑλληνικὸν (Institut de corps des cadets grecs) ἐν Πετρουπόλει συνέστησεν, ἔνθα 200 περίπου ἑλληνόπαιδες ἐπαιδεύοντο δαπάνῃ αὐτοκρατορικῇ ( βλ. Rizo l. c. p. 88, 90), καὶ πολλαχῶς πολλοὺς τῶν Ἑλλήνων εὐηργέτησεν. Ἀλλὰ καὶ ἡ ἐν Βουκουρεστίοις (τῷ 1812) ἐπὶ τοῦ ἀειμνήστου Ἀλεξάνδρου τοῦ Α. γενομένη εἰρήνη οὐ μικρὸν συνετέλεσεν εἰς παραμυθίαν καὶ ἀνάψυξιν τῶν ἐν τῇ Ἀνατολῇ πασχόντων ὀρθοδόξων λαῶν. Ὁ δὲ τῆς ὀρθοδοξίας προασπιστὴς καὶ μάρτυς, ὁ ἀοίδιμος Νικόλαος ὁ Α. διὰ τῆς ἐν Ἀδριανουπόλει (τῷ 1829) εἰρήνης κατηνάγκασε τὸν ἁρπαγοτύραννον, ἵνα κατὰ τὴν ἡμέραν τῆς κοσμοσωτηρίου Ἀναστάσεως ἀνακηρύξῃ τὴν ἀνεξαρτησίαν τῆς ἐπὶ ἐνναετίαν ἀγωνι-

αὔξησιν πεφυκότι κατατήκειν καὶ διαλυμαίνεσθαι (α), ἀνεφαίνοντο ἐπὶ τοῦ στερεώματος τῆς Ἑλλάδος μορφαὶ παρήγοροι, σκεύη τιμαλφῆ καὶ ἄξια τῆς θείας ἐκλογῆς, διαλάμποντα ἐπὶ σοφίᾳ καὶ ποιμενικῇ ἀρετῇ, καὶ συνέσει πολιτικῇ, καὶ ἀγαθοεργίᾳ χριστιανικῇ.

---

ζομένης Ἑλλάδος. Εἶτα δὲ ἵνα στήσῃ φραγμὸν κατὰ τῶν πολυειδῶν τῆς Δύσεως μηχανουργιῶν, τῶν γυμνῇ τῇ κεφαλῇ τέλος τὰς συνειδήσεις ταραττουσῶν καὶ τὰ δι' ὅλων τεσσάρων αἰώνων ἀπαράγραπτα τῶν Ὀρθοδόξων δικαιώματα σφετεριζομένων, «εἷς καὶ μόνος, ὁ καὶ μόνος ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ ὀρθόδοξος βασιλεὺς καὶ αὐτοκράτωρ καὶ μόνος ἐκ δικαιώματος ἀντιλήπτωρ τῶν ὁμοπίστων λαῶν, πλήρης θείας πίστεως καὶ δικαιοσύνης» τὸν ἔνδοξον ἐκεῖνον ἤρατο καὶ καλὸν ἀγῶνα, καθ' ὃν ἡ χριστιανικὴ Δύσις ἀντεξανέστη θερμὴ σύμμαχος τῆς ἀποτροπαίου τυραννίας συνασπισθεῖσα πρὸς συντριβὴν τῆς ἐκκλησίας καὶ διηνεκῆ στερέωσιν τῆς ἀντιχρίστου δυναστείας (ϐλ. τοῦ ἡμετέρου πατρὸς Ἀλέξανδρος ὁ Στούρζας σελ. 112). Ἀλλὰ καὶ ὑπὸ τὸν ἔνδοξον καὶ ἄξιον διάδοχον καὶ τῶν πατρῴων ἀρετῶν κληρονόμον, τὸν πανευκλεῶς νῦν αὐταρχοῦντα ΑΛΕΞΑΝΔΡΟΝ τὸν Β. τὴν αὐτὴν φιλοστοργίαν καὶ ἀδαμάντινον τὸν σύνδεσμον τηρεῖ καὶ καταδείκνυσιν ἡ μεγάλη καὶ θεοπρόϐλητος τῆς Ὀρθοδοξίας προστάτις πρὸς τὴν διωκομένην μητέρα καὶ ἀδελφήν, παντὶ σθένει τὰ περιστοιχοῦντ' αὐτὴν ἀποσοϐοῦσα παγχάλεπα δεινά. Καὶ δικαίως ἄρα δύναται πρὸς αὐτὸν ἐπιφωνῆσαι τὸ τῶν ὀρθοδόξων πλήρωμα τὴν σεπτὴν ἐκείνην εὐλογίαν, ἣν ἡ ἐν Χαλκηδόνι Δ'. Οἰκουμενικὴ Σύνοδος πρὸς τὸν εὐσεϐέστατον Μαρκιανὸν ἀπήγγειλε· «Ταῦτα τῆς Αὐτοκρατορίας ΣΟΥ ἄξια. Ταῦτα τῆς ϐασιλείας ΣΟΥ ἴδια. Οὐράνιε βασιλεῦ τὸν ἐπίγειον φύλαξον» (ϐλ. Συνόδ. Συλλογ. Τόμ. Β. σελ. 165).

(α) « Καρπῶν μὲν εὐφορίαν εὐκρασία ποιεῖ καὶ λεπτότης τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν αὔξησιν εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία ϐασιλέως ἐκκαλεῖται· καὶ τοὐναντίον ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ φιλονεικίας τῶν κρατούντων σϐέννυται καὶ φθίνει πᾶν τὸ τοιοῦτον». Πλούταρχ. Τύχ. Ἀλεξάνδρ. Λόγ. β.

§. 6. Τούτων τῶν ἀληθῶν τοῦ ἑλληνικοῦ γένους εὐεργετῶν οἱ πολυειδεῖς ἀγῶνες εἰς τὴν στήριξιν τῆς πίστεως, εἰς γνῶσιν τῆς ἀληθείας, εἰς τὴν ὀρθὴν τοῦ ἔθνους παιδείαν, εἰς τὴν ἔμφρονα ἀνόρθωσιν τῆς πεπτωκυίας πατρίδος καὶ ἀπελευθέρωσιν αὐτῆς ἐκ τῆς δουλείας καὶ φθορᾶς, ἐξιστορούμενοι οὐ τὴν τυχοῦσαν ὄνησιν παρέχουσιν εἴς τε τοὺς καθ' ἡμᾶς καὶ τοὺς μεθ' ἡμᾶς. Καὶ οὐ μόνον πρὸς μίμησιν παρορμῶσι καὶ τὸ εὔγνωμον τοῦ ἔθνους μαρτυροῦσιν (α), ἀλλὰ καὶ συμβάλλουσιν εἰς συνέχειαν τῆς ἱστορίας αὐτοῦ καὶ τῆς ἐκκλησίας, καὶ καταδεικνύουσιν, ὅτι ἡ πολύχους αὕτη καὶ λογομήτωρ καὶ εὐσεβοτρόφος γῆ ἀπὸ τῶν παλαιτάτων χρόνων οὐδόλως ἐπαύσατο παράγουσα ζῶντα καὶ ἐναργῆ παραδείγματα σοφίας καὶ ἀρετῆς. Εἰς τὴν ἱερὰν ταύτην γάζαν κἀγὼ τὸν ἐμὸν εἰσφέρων ὀβολὸν οὐκ ἀπώκνησα σκιαγραφῆσαι αὐτοσχεδίως τὸν βίον ἀνδρὸς δι' ὅλης τῆς μακρᾶς αὐτοῦ ζωῆς ζηλώσαντος τὴν ἀγαθοεργίαν, τοῦ ἀειμνήστου Γρηγορίου, Μητροπολίτου Εἰρηνουπόλεως καὶ Βατοπαιδίου, ἐξ ὧν ἠδυνήθην συλλέξασθαι μαρτυριῶν ἀξιοπίστων (β). Ἂν δὲ καὶ μὴ πάσας τῷ λόγῳ περιλάβω τὰς

---

(α) Βλ. τοῦ σοφοῦ τῆς φιλοσοφίας καθηγητοῦ Φιλίππου Ἰωάννου Λόγ. ἐκφων. ἐν τῷ Ἑλλην. Πανεπιστημ. κατὰ τὴν ἐπέτ. τῆς καθιδρύσεως αὐτοῦ ἑορτήν. σελ. 2.

(β) Τὰς πλείστας τῶν μαρτυριῶν τούτων ὀφείλομεν τῷ εἰλικρινεῖ φίλῳ, συνεργῷ, διαδόχῳ καὶ ὁμοτρόπῳ τοῦ βιογραφουμένου ἀρχιμανδρίτῃ, τῷ ἐξ Αἴνου σεβασμίῳ γέροντι Διονυσίῳ, τῷ πνεύματι ὀξυδερκεστάτῳ καὶ ὑπὸ Θεοῦ ἀληθῶς σεσοφισμένῳ τυφλῷ κατὰ τὸν Προφητάνακτα (Ψαλμ. ρμε, 8). Ὁ ὑπὲρ τὰ 40 ὅλα ἔτη τὴν τῶν Βατοπαιδινῶν καὶ ἐν γένει τοῦ κλήρου ἱερὰν κοσμῶν χορείαν γεραρὸς οὗτος γέρων οὐ μόνον περιοδεύων μετὰ τῆς ἁγίας ζώνης τῆς Θεοτόκου καὶ τῆς θαυματουργοῦ κάρας τοῦ ἁγίου Ἀνδρέα τοῦ Κρήτης ἐν Κρήτῃ, μαστιζομένῃ (τῷ 1820)

ἀρετὰς αὐτοῦ, καὶ πολλοὶ πολλὰς τῶν αὐτοῖς γνωστῶν ἢ μηδαμῶς ἢ ἀτελῶς εὕρωσι μνημονευομένας, μὴ ἀγανακτείτωσαν οἱ τοιοῦτοι, μηδὲ ῥαθυμίας ἡμᾶς καταγνώτωσαν, αὐτοῖς τὰ τελειότερα παραχωροῦντας καὶ εὐχομένους, καὶ ἀναλογιζόμενοι τὸ δυσχερὲς τῆς βιογραφίας ἀνδρῶν μὴ ἐπιδεικτιώντων μηδὲ πολιτευομένων, ἀλλ' ἐν τῷ κρυπτῷ καὶ ἰδίᾳ τὸ κοινὸν ἀγαθὸν ἐργάζεσθαι σπουδαζόντων. Ἀλλὰ καὶ τὰ ὀλίγα ταῦτα ἱκανά μοι δοκοῦσι «παντὸς τοῦ βίου τοῦ ἀνδρὸς δεῖξαι τὸν χαρακτῆρα· καὶ γὰρ καὶ τὸν χρυσὸν οὐχ ἅπαντα τὸν προσφερόμενον δαπανῶσα ἡ λίθος, ἀλλ' ὀλίγῳ τινὶ προστριβομένη δόκιμον ἢ ἀδόκιμον δείκνυσι», κατὰ τὸν μακάριον Θεοδώρητον (α).

§. γ. ΓΡΗΓΟΡΙΟΣ ὁ ἀοίδιμος, ὁ πρῴην κατὰ κόσμον καλούμενος Γεώργιος, ἐν Ἐφέσῳ, τῇ τῆς Ἰωνίας ἐπιφανεστάτῃ πόλει καὶ διαφερόντως λαμπρυνομένῃ «διὰ τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ πίστιν, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας

---

ὑπὸ λοιμοῦ, πολλὰ ἐμόχθησε κινδυνεύσας πρός τε τὴν τῶν ἐγκεχειρισμένων αὐτῷ βαρυτίμων κειμηλίων διάσωσιν καὶ πρὸς λύτρωσιν πολλῶν ἐν αἰχμαλωσίᾳ ἀδελφῶν καὶ ἀξιοπρεπῆ συντήρησιν τοῦ ἱεροῦ Μοναστηρίου· ἀλλὰ καὶ μετὰ τὴν εἰς Μολδαυΐαν ἀποστολὴν οὐκ ἐπαύσατο εὐεργετῶν κατ' ἄμφω τοὺς ἀδελφούς, ἄλλως τε καὶ τὰς ἐξομολογήσεις τῶν μετανοούντων ἀναδεχόμενος, καὶ παράδειγμα ζῶν εὐσεβείας καὶ ἀρετῆς πᾶσι προκείμενος. Ἐλάβομεν δὲ τὰς μαρτυρίας ταύτας διὰ τοῦ φιλοπόνου καὶ φιλοκάλου λογίου Κ. Δημητρίου Ἰθακησίου, τοῦ ἄλλα τε πολλὰ εἰς τὸ ἔθνος συνεισενεγκόντος, καὶ δὴ καὶ εἰς κατάρτισιν τοῦ ἐν Γαλαζίῳ ἀρτισυστάτου Ἑλλην. ἐκπαιδευτηρίου (βλ. Ἐφημερ. Ἀθηνᾶς ἀριθ. 2877) ἀγωνιζομένου μετὰ ζήλου ἀκμαίου καὶ ἐν τῷ γήρατι, δι' ὃν καὶ ὑπὸ τοῦ ἀειμνήστου Εἰρηνουπόλεως πατρικῶς ἠγαπᾶτο καὶ παρὰ τῶν ἐν Ἰασίῳ καὶ ἀλλαχοῦ γνόντων αὐτὸν δικαίως τιμᾶται.

(α) Λόγ. περὶ τῆς θείας καὶ ἁγ. ἀγάπης Τόμ. Γ. σελ. 645. ἔκδ. Εὐγεν.

τοὺς ἁγίους» (α), ἐγεννήθη (τῷ 1761) ἐκ γονέων τὰ πρῶτα τῇ εὐσεβείᾳ καὶ ἀρετῇ καὶ τῇ κατὰ Θεὸν πολιτείᾳ φερόντων. Δημήτριος Πατάρας ὁ πατὴρ ἐκαλεῖτο, Σοφία δ' ἡ μήτηρ, ἣ καὶ ἐξ ἀρχῆς φιλόθεος καὶ φιλομόναχος οὖσα, περὶ τὰς δυσμὰς τοῦ βίου τὸν τοῦ γάμου δρόμον ἐπαξίως καὶ ἐναρέτως τελέσασα καὶ τοῦ τελειοτέρου καὶ ἀγγελικοῦ ἐπιθυμήσασα, τὴν κοσμικὴν ἀπέλιπε τύρβην, καὶ Σαλώμη μετονομασθεῖσα τὸν μοναχικὸν καὶ θεῷ μόνῳ καθωσιωμένον ἠσπάσατο βίον, ὡς ἀσφαλῆ καὶ ἀκύμαντον λιμένα, εἰς ὃν καὶ βασιλεῖς καὶ δυνάσται πολλάκις καταφυγόντες ἐσώθησαν(β). Ὁ τοίνυν Γεώργιος ἐκ σπαργάνων παρὰ τῶν φιλοστόργων γονέων εἰς τὰ τῆς εὐσεβείας καὶ κατὰ Χριστὸν πολιτείας προασκηθεὶς καὶ καλῶς ποιωθείς, καὶ τὰ ἱερὰ γράμματα ἐν τῇ πατρίῳ σχολῇ εὐδοκίμως παιδευθείς, ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι συναυξανομένης καὶ τῆς ἐν αὐτῷ ἐφέσεως τελειοτέρας ἀγωγῆς καὶ στεῤῥοτέρας τοῦ νοῦ τροφῆς. Καὶ δὴ ὁρῶν ἀνεπαρκὲς πρὸς πλήρωσιν ταύτης τὸ πάτριον ἐκπαιδευτήριον, ἑκκαιδεκαέτης ἀπέρχεται κατὰ βούλησιν τῶν γονέων εἰς τὴν οὐ μακρὰν τῆς αὐτοῦ πατρίδος κειμένην νῆσον Σάμον, τὴν καὶ πάλαι καὶ νῦν χρηστοὺς καὶ φιλομούσους

---

(α) Ἐφέσ. α. 15.

(β) «Τοσαύτην χάριν ὁ Θεὸς καὶ πρὸ τοῦ αἰῶνος τοῦ μέλλοντος τοῖς μοναχοῖς ἐδωρήσατο, ὥστε . . . . πολλοὺς δὲ μεγιστᾶνας καὶ πᾶσαν τὴν ἐν κόσμῳ ἀξίαν εἴθ' ἑκουσίως, εἴτ' ἀβουλήτως διά τινος περιστάσεως προσφεύγειν τοῖς ταπεινοῖς μοναχοῖς, καὶ λυτροῦσθαι μὲν κινδύνων θανατηφόρων, σωτηρίας δὲ προσκαίρου καὶ αἰωνίου τυγχάνειν. Ἡ γὰρ θεία πρόνοια συνωθεῖ τοὺς δυνάστας ἑκόντας τε καὶ ἄκοντας προσφεύγειν τοῖς ἐλαχίστοις καὶ σώζεσθαι ». Νείλου μοναχ. Ἐπιστολ. Α. α. σελ. 1. ἐκδ. Ῥώμ. 1668.

τρέφουσαν πολίτας (α). Ἐκεῖ δὲ προσῆλθεν εἰς τὸ ἀρτισύστατον τῆς Ζωοδόχου Πηγῆς μοναστήριον, λαμπρὰν ἔχον ἄποψιν καὶ πρὸς ἀναβάσεις λογισμῶν ψυχοτρόφων ἀναπτεροῦν τὴν διάνοιαν τῶν ἐν αὐτῷ ἀσκουμένων ἱεροπρεπῶν ἀνδρῶν (β). Εἰς τοῦτο οὖν, ὡς μίαν τῶν ὕδατος ζῶντος πηγῶν, τῶν θεραπευουσῶν ἱκανῶς τὴν ἔμφυτον τοῖς Ἕλλησι φιλο-

(α) Ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διαπρέπει ἐπὶ παντοίᾳ ἀρετῇ καὶ ζήλῳ ἐνθέῳ ὁ τῶν Ἱεροσολύμων νῦν εὐκλεῶς ἰθύνων τὸν θρόνον μακαριώτατος Κύριλλος, ὁ σφόδρα ζηλωτὴς τοῦ κοινοῦ φωτισμοῦ, καὶ συντελῶν πλουσίᾳ τῇ χειρὶ πρὸς σχολείων οἰκοδομάς, ἐκλογὴν ἀγαθῶν διδασκάλων, ἐκπαίδευσιν κληρικῶν, πλουτισμὸν τῶν ἐν Ἱεροσολύμοις βιβλιοθηκῶν, ἐκδόσεις κοινωφελεστάτων βιβλίων ἐκκλησιαστικῶν, νοσοκομείων καθιδρύσεις καὶ παντοδαπῶν ἄλλων καθιδρυμάτων καὶ φροντιστηρίων ἔν τε τῷ ἀρχεγόνῳ τῆς Μητρὸς τῶν ἐκκλησιῶν θρόνῳ, καὶ ἐν Κωνσταντινουπόλει καὶ Ἀθήνησι καὶ ἀλλαχοῦ πολλαχοῦ, μηδ' αὐτῆς τῆς κατὰ κόσμον πατρίδος ἐξαιρουμένης, ὅπου πολλὰ καὶ καλὰ ἀναθήματα προσήνεγκεν εἴς τε τὰ σχολεῖα καὶ εἰς τὸ τοῦ ἁγίου Κωνσταντίνου μοναστήριον, ἔνθα ἐκάρη. Καὶ ἀληθῶς ἐξεπλήρωσεν ἃς ἀπὸ εὐγενοῦς καὶ ὄντως μουσολήπτου καρδίας ἀνέτεινεν εὐχὰς ὁ *ἐρίηρος ἀοιδός*, τὸ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς ἀγλαὸν ἐγκαλλώπισμα, ὁ φίλος Ἠλίας Τανταλίδης.

Ζῆθι, πάτερ, προασπίζων τὰ τοῦ θρόνου σου πρεσβεῖα,
Ἐπαρκῶν εἰς τὴν πενίαν, τεθηπὼς δὲ καὶ τὰ θεῖα,
Καὶ τὸ γένος δᾳδουχῶν. βλ. Ἠλ. Τανταλίδου Ἰδιωτικὰ Στιχουργήματα. σελ. 42. Τεργέστῃ. 1860.

(β) Διαγράφων τὸ μοναστήριον τοῦτο ὁ γάλλος Γυερῖνος πρὸς τοῖς ἄλλοις λέγει καὶ τὰ ἑξῆς «Du haut des terrasses du monastère, les yeux se promènent au loin sur l'Ionie entière, et cette vue admirable en charmant le regard élève aussi la pensée et invite à la méditation. (Guérin Description de l'île de Patmos et de l'île de Samos. pag. 254. Paris, 1856). Τὸ μοναστήριον τοῦτο, καθ' ἃ παρ' ἀνδρὸς Σαμίου καὶ τῶν πατρίων ἐρευνητοῦ ἐμάθομεν, ἔκτισται τὸ πρῶτον τῷ 1773 (καὶ οὐχὶ τῷ 1782, ὡς ὁ Γυερῖνος γράφει) ὑπό τινος Δωροθέου, ὃς καὶ

μάθειαν (α), προσελθὼν ὁ Γεώργιος, ἐντυγχάνει γέροντι τά τε ἄλλα σεβασμίῳ, καὶ δὴ καὶ βίου ἁγνότητι διαλάμποντι, Δαμιανῷ καλουμένῳ, καὶ τούτῳ, ὡς ὁ Τιμόθεος τῷ Παύλῳ, ὑπετάγη, χειραγωγοῦντι αὐτὸν οὐ μόνον εἰς τὰ τῆς ἔξω παιδείας, ἀλλὰ καὶ μᾶλλον εἰς τὰ τῆς χριστιανικῆς

---

γυναικεῖον παρ' αὐτῷ μοναστήριον ἔκτισε καὶ νοσοκομεῖον τῶν ὑπὸ τῆς ἱερᾶς νόσου κατεχομένων, μέχρι τοῦ νῦν διατηρούμενον.

(α) Τὰ πανταχοῦ τῆς Ἑλλάδος κατὰ θείαν πάντως μοῖραν κατεσπαρμένα μοναστήρια, ὡς δένδρα μεγάλα καὶ ὑψίκομα, καὶ πάντοτε οὐ μικρὰν τοῖς ὀρθοδόξοις Ἕλλησι παρέσχον τὴν ὠφέλειαν, πολλῷ δὲ μᾶλλον κατὰ τὸν δεινὸν τῆς δουλείας χειμῶνα. Διότι οὐ μόνον ὑπῆρχον ἡ τῶν δυστυχῶν καταφυγή, καὶ τῶν Τουρκισμῷ ἢ ἄλλῃ τινὶ δεινῇ περιπιπτόντων συμφορᾷ τὸ ἄσυλον, ἀλλὰ καὶ τῆς πατρίου παιδείας τῆς τε θύραθεν καὶ τῆς ἱερᾶς διετήρουν βαρυτίμους θησαυρούς, καὶ σχολεῖα οὐκ εὐκαταφρόνητα ἐν τοῖς πλείστοις οὐ διέλειπον. Οἱ δ' ἐκ τοῦ πολυκύμονος τούτου βίου ἐκεῖ καταίροντες, μυούμενοι ἐν αὐτοῖς, ἀνήγοντο εἰς τὸ πέλαγος τοῦ κόσμου, κρατύνοντες τοῦ λαοῦ τὴν εὐσέβειαν, διασκορπίζοντες φρονίμως τὸν θησαυρὸν τῆς ἀληθοῦς παιδείας καὶ καθοδηγοῦντες αὐτὸν διὰ τῆς τοῦ ἀνεσπέρου φωτὸς μεταλαμπαδεύσεως εἰς τὴν ἀνάκτησιν τῆς ἀρχαίας εὐκλείας, μήτε πόνων μήτε ἱδρώτων, μηδέ τινος τῶν τῆς ἐπικήρου ταύτης ζωῆς ἀγαθῶν φειδόμενοι, ἀλλ' ἑαυτούς τε καὶ τὰ ἑαυτῶν πάντα τοῦ ἰδίου ἔθνους περιουσίαν λογιζόμενοι, καὶ τὴν ἑαυτῶν ψυχὴν ὑπὲρ αὐτοῦ τιθέμενοι, καὶ μετὰ τῶν τοῦ λογίου καὶ κερδῴου Ἑρμοῦ ἀκολούθων, τῶν τῆς σωσανδρικῆς τέχνης θιασωτῶν, τῶν κατὰ τόπους εὐπατριδῶν καὶ τῶν κατὰ τὸ Βυζάντιον ἀξιωματικῶν, διελογίζοντο καὶ συνεπόνουν ὑπὲρ τοῦ γένους, *ἕνα* ἔχοντες *οἰωνὸν ἄριστον, ἀμύνεσθαι περὶ πίστεως καὶ πάτρας*. Καὶ καθόλου δὲ οἱ λειτουργοὶ τῆς ὀρθοδόξου ἐκκλησίας διετέλουν οὐ μόνον παρηγοροῦντες καὶ ἁγιάζοντες τὸν λαόν, ἀλλὰ καὶ διαπλάσσοντες καὶ ἐνισχύοντες τὸ τοῦ ἔθνους φρόνημα. Γνωστά εἰσιν ἐκ τῆς ἱστορίας ἄλλα τε πολλὰ καὶ καλὰ τοῦ ἱεροῦ κλήρου ὑπὲρ τοῦ ἔθνους ἀγωνίσματα, καὶ τὰ τοῦ Τρίκκης Διονυσίου, καὶ τὰ τοῦ παπᾶ Εὐθυμίου (ὅτε καὶ ὁ ἀοίδιμος ἡμῶν Πατὴρ οὐ σμικρὰ ἔπαθε)

ἀρετῆς μυστήρια. Οὕτως οὖν λαχὼν ἀληθοῦς εὐγενείας (α) καὶ φύσεως δεξιᾶς ὁ Γεώργιος, καὶ τοιαύτης τυχὼν ἀγωγῆς, καὶ νέος μὲν ὢν ἔτι εἶχεν ἐν ἑαυτῷ τὰ τῆς ἀρετῆς προχαράγματα, οἷον σκιάς τινας καὶ γραμμὰς οὐκ ἀμυδρῶς τὸ μέλλον εἰκονιζούσας, εἶχε δὲ καὶ ἀκριβεστέρους τοὺς ταύτης τύπους καὶ χαρακτῆρας, τῆς ἡλικίας αὐτῷ προβαινούσης καὶ πῆξιν τῆς διανοίας στάσιμον λαμβανούσης. Ἱκανὸν δ' ἐκεῖ ἐνδιατρίψαςχρόνον καὶ εἰς μέτρον ἀφικόμενος ἡλικίας, ἐν ᾗ ἕκαστος ἑαυτὸν ἔνδον καθίζει τῶν λογισμῶν κριτήριον (β), εἰς τὴν αἵρεσιν καθίσταται τῆς ἐν τῷ βίῳ ὁδοῦ. Ἔχων δ', ὡς ἔοικεν, ἐν νῷ τὰ τοῦ μεγάλου Ἀθανασίου «Δύο, φάσκοντος, οὐσῶν ὁδῶν ἐν τῷ βίῳ περὶ τούτων (ἴσ. γρ. καὶ τούτων, ἢ τούτῳ), μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω, τῆς δ' ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς παρθενίας· εἰ μέν τις τὴν κοσμικήν, τουτέστι τὸν γάμον, ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει, τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται (λήψεται γάρ, ἐπείπερ φέρει καὶ αὐτὸς καρπὸν τῶν τριάκοντα)· εἰ δὲ τὴν ἁγνήν τις καὶ ὑπερκόσμιον ἀσπάσοιτο (ἴσ. γρ. ἀσπάσαιτο), εἰ καὶ τραχεῖα παρὰ τὴν πρώτην καὶ δυσκατόρθωτος ἡ ὁδός, ὅμως ἔχει χαρίσματα θαυμασιώτερα· τὸν γὰρ τέλειον καρπόν, τὴν ἑκατοντάδα, ἐβλάστησε» (γ).

---

γενναῖα κατορθώματα, οἵτινες ὁπλισθέντες κατὰ τῶν ἀλλοφύλων οὐκ ἔτυχον μὲν τῆς ποθουμένης ἐλευθερώσεως τῆς Ἑλλάδος ἀπὸ τοῦ δεσποτισμοῦ τῶν κατακτητῶν, τὰ μέγιστα ὅμως παρεσκεύασαν προμαιευσάμενοι αὐτὴν τοῖς καθ' ἡμᾶς, ὡς εἴπομεν ἀλλαχοῦ (Περὶ Μάρκου τοῦ Κυπρίου σελ. 16—17).

(α) Βλ. ὅπως τὴν ἀληθῆ χαρακτηρίζει εὐγένειαν Γεώργιος ὁ Κορέσσιος ἔνθ. ἀνωτ. σελ. 19.

(β) Γρηγόρ. Ναζιαν. Περὶ τοῦ ἰδίου βίου. Τόμ. β. σελ. 5.

(γ) Μ. Ἀθανασ. ἐπιστ. πρὸς Ἀμμοῦν. Τόμ. β. σελ. 43. ἔκδ. Commel.

Ταῦτα τοίνυν ἐν νῷ ἔχων, τὴν τραχυτέραν μὲν, ἀλλὰ καὶ ὑψηλοτέραν καὶ εἰς τελειότητα ἄγουσαν ἐκλέγεται· καὶ δὴ κείρεται παρὰ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς καὶ τῷ Θεῷ ἀφοσιοῦται ὅλος, καὶ τὸ ὄνομα μετὰ τῶν λοιπῶν κοσμικῶν ἀντικαταλλαξάμενος, Γρηγόριος ἀπὸ Γεωργίου μετονομάζεται. Ἱκανὰ δὲ τεκμήρια τῆς ἑαυτοῦ χρηστότητος καὶ τοῦ κατέχοντος αὐτὸν θείου ζήλου παρασχόμενος, ἀξίως προχειρίζεται παρὰ τοῦ ἀοιδίμου Σάμου, Δανιὴλ τοῦ Πελοποννησίου, ἱεροδιάκονος καὶ ἱερομόναχος, ἀντάξια τῶν παρὰ τοῦ θείου Πνεύματος ἐπιδαψιλευθέντων αὐτῷ χαρισμάτων τὰ ἔργα ἐπιδεικνύμενος, καὶ οὕτω πολιτευόμενος, ὥσθ' ὁ μακάριος ἐν Χριστῷ πατὴρ αὐτοῦ Δαμιανὸς ἐνιδὼν τὴν πρὸς βαθυτέραν σπουδὴν ὀργῶσαν αὐτοῦ φύσιν καὶ τὴν ἀγαθὴν προαίρεσιν, καὶ προϊδὼν τοὺς οὓς ἔμελλε καλοὺς καρποὺς ἀποφέρειν, ἀποστέλλει αὐτὸν εἰς Πάτμον, τὴν τότε περίπυστον διὰ τὸν ἐν αὐτῇ καρποφόρως διδάσκοντα Δανιὴλ τὸν Πάτμιον (α). Ἐκεῖ δὲ ὥσπερ ἡ διψῶ-

---

(α) Ἐτελεύτησεν ὁ ἀοίδιμος Δανιὴλ τῷ 1801. Παρ' αὐτῷ ἐφοίτων 200 μαθηταὶ ἀφ' ὅλης τῆς Ἑλλάδος ἐκεῖσε, ὡς εἰς ἐμπόριον ὠνίων πολυτίμων, καταίροντες. Διέπρεψαν δ' ἐν Πάτμῳ ἄνδρες ἐπὶ παιδείᾳ καὶ ἀγαθῷ ζήλῳ θαυμαζόμενοι ἄλλοι τε καὶ Μακάριος ὁ ἱεροδιάκονος, καὶ Γεράσιμος ὁ Βυζάντιος, καὶ Βασίλειος ὁ Κουταλιανὸς (βλ. Μελετίου Ἐκκλ. Ἱστορ. Τ. 4. σελ. 141, 221, καὶ Guérin l. c. p. 18). Ὁ Γυερῖνος καὶ τὸν κατάλογον τῶν ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἀπὸ χιλιετίας περίπου, ἐπ' ἀγαθῷ τοῦ χριστεπωνύμου πληρώματος, αὐτοκρατορικῇ φιλοτιμίᾳ ἀνεγερθέντος καὶ προικισθέντος (βλ. τὸ αὐτοκρατορικὸν χρυσόβουλλον Ἀλεξίου τοῦ Κομνηνοῦ παρὰ Ross, Reisen in den Griechis. Inseln des aegaeis. Meeres. 2 Bd. p. 179–185. Stuttgard, 1843) μοναστηρίου τοῦ ἁγίου Ἰωάννου διατηρουμένων χειρογράφων, τῶν εἰς 240 ἀναβαινόντων, ἐδημοσίευσε (σελ. 101–119). Μεταξὺ τούτων τῶν χειρογράφων ἀριθμεῖ καὶ τὸ Παύλου τοῦ Αἰγινήτου *περὶ*

δα ἔλαφος προσδραμὼν ὁ Γρηγόριος, ὡς κάλλιστα τὴν Ἑλληνικὴν ἀπηρύσατο παιδείαν καὶ πάσης ἰδέας λόγου ἐγκρατὴς ἐγένετο. Ἀλλ' ὥσπερ κόρον οὐκ εἰδὼς ἐραστὴς τῆς ἀληθοῦς παιδείας, τὰ ἐνόντα ἐκεῖ κτησάμενος τῶν μαθημάτων, ὑψηλοτέρων δὲ καὶ θεωρητικωτέρων γλιχόμενος, ἀπαίρει (τῷ 1792) εἰς τὴν φιλόμουσον Χῖον ἐπὶ φιλοσοφικῶν καὶ θεολογικῶν μαθημάτων ἀκροάσει· ἦν γὰρ τότε διδάσκων

---

ἰατρικῆς, ὅπερ ἀρχαιότατον λέγει (parait fort ancien p. 111). Τοῦτο δὲ τὸ χειρόγραφον περιοδεύων (τῷ 1831) ὁ πολυμαθὴς καὶ πάντ' ἄριστος φίλος ἰατρὸς Κ. Ἰωάννης Βοῦρος παρέβαλε πρὸς τὴν ἐν Βασιλείᾳ γενομένην ἔκδοσιν, καὶ τὰς παραλλαγὰς καὶ διαφόρους γραφὰς ἔπεμψε τῷ μακαρίτῃ ἱστοριογράφῳ Σπρεγγελίῳ, ἀσχολουμένῳ τότε εἰς δημοσίευσιν τοῦ ἀρχαίου τούτου ἰατροῦ. Ἀλλ' ὁ θάνατος ἐπελθὼν ἐματαίωσε τὴν προπαρασκευαζομένην ἔκδοσιν. Ὁ δὲ τῆς Δύσεως πρὸς τἀρχαῖα τῆς ἑλληνικῆς σοφίας κειμήλια ἔρως, ὁ κατὰ τὰς ἀρχὰς τοῦ ιέ. αἰῶνος ὑπὸ τῶν περὶ τὸν Χρυσολωρᾶν, εἶτα δὲ κατὰ τὰ μέσα αὐτοῦ ὑπὸ τῶν περὶ τὸν Κ. Λάσκαριν ἀπὸ τῆς πανωλεθρίας τοῦ Βυζαντινοῦ Κράτους εἰς τὰ παράλια τῆς Ἰταλίας καὶ ἀλλαχοῦ περισωθέντων ναυαγίων, ἢ κατὰ τὸν φιλέλληνα Φίλελφον « τῶν οἰκτροτάτων λειψάνων τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως» (Βλ. τοῦ σοφοῦ καὶ πολυΐστορος Α. Μουστοξύδου 'Ελληνομνήμον. σελ. 402), μετὰ πολλῶν πόνων καὶ στενοχωριῶν ὡς ἐν χέρσῳ γῇ ἐκεῖ ἐνσπαρεὶς ἐπ' ἀγαθαῖς ἐλπίσιν, ἀλλ' ἔπειτα προκατάρξαντος τοῦ Πάπα Νικολάου (τῷ 1453) παντὶ δόλῳ καὶ πάσῃ μηχανῇ καὶ αὐτοῖς δὴ τοῖς τῶν τυράννων βασανιστηρίοις κατὰ τῶν ἀπαραγράπτως κληρονομησάντων αὐτὰ ὁπλισθείς, καὶ εἰς προφανῆ καταντήσας ἱεροσυλίαν, οὐκ ἀφῆκεν οὐδὲ τὴν τῆς Πάτμου βιβλιοθήκην ἀνεπηρέαστον, ἀλλὰ μετ' ἄλλους καὶ ὁ ἄγγλος περιηγητὴς Κλάρκιος οὐ πρὸ πολλοῦ ἀφήρπασεν ἀπ' αὐτῆς μετ' ἄλλων πολλοῦ λόγου ἀξίων καὶ τὸ τοῦ Πλάτωνος ἀρχαιότατον χειρόγραφον (βλ. Magasin Encyclopéd. T. v. p. 367). Τοῦτο δ' ἐκίνησεν εἰς ἀγανάκτησιν τὸ φιλόπατρι τοῦ τῶν αὐτοσχεδίων στοχασμῶν συγγραφέως (βλ. Ἑλληνικῆς Βιβλιοθήκ. Τόμ. ά. σελ. λγ—λζ), καὶ βαρὺς ἐπέπεσεν ὁ μα-

εὐδοκίμως ἐν αὐτῇ τὰ θεολογικὰ ὁ ἀείμνηστος Ἀθανάσιος ὁ Πάριος. Τὰ χρήσιμα δὲ κἀκεῖθεν συλλεξάμενος καὶ «λόγους

---

καρίτης κατά τε τῶν ἐν πᾶσι τοῖς ψόγοις αὐτοῦ ἀρτύματος τόπον ἐχόντων *καλῶν γραμματικῶν*, ἵνα μὴ εἴπω τῶν ἀρχαίων διδασκάλων, καὶ κατὰ τῶν σεβασμίων πατέρων τῆς Πάτμου καὶ τοῦ Ἄθωνος, ὡς ἀγραμματωτάτων καὶ φιλαργυρωτάτων, καὶ διὰ ταῦτα καὶ τῆς ἱεροσυλίας πρωταιτίων. Ἀλλ' εὖ οἶδ' ὅτι, δικαιότερον καὶ μετριώτερον ἔμελλε γράψειν ὁ ἰατροφιλόσοφος φιλολόγος, εἰ μᾶλλον ἐνέκυπτεν εἰς τὴν τῆς αἰχμαλωσίας πάτριον ἱςορίαν, καὶ ἀνεγίνωσκεν, ὅτι καὶ εἰς ἀνασκαφὰς ἢ μᾶλλον τυμβωρυχίας τῶν πατρῴων ἠγγαρεύοντο διὰ τῆς ὀθωμανικῆς μάστιγος ὑπὸ τῶν ἀγαθῶν περιηγητῶν οἱ πατέρες ἡμῶν· καὶ εἴπερ ἐξ αὐτῶν εὐλόγως συνεπέραινε καὶ ὅσ' ἄλλα ἀθέμιτα μέσα μετεχειρίσθη ἡ τούτων ἀκορεσία καὶ βία, ἥτις καὶ νῦν ἔτι καὶ κατ' αὐτὴν τὴν ἐλευθέραν Ἑλλάδα (ὅπου καὶ μουσεῖα, καὶ βιβλιοθῆκαι, καὶ ἀρχαιολογικαὶ ἑταιρεῖαι διαπρέπουσι, καὶ ζῆλος οὐκ ὀλίγος καὶ σπουδὴ πρὸς συλλογὴν τῶν τιμαλφῶν προγονικῶν ἀριστουργημάτων διαλάμπει, καὶ νόμος κεῖται, ῥητῶς τὴν ἀπαγωγὴν ἀπαγορεύων) θρασύνεται εἰς ἁρπαγὴν καὶ κλοπὴν ἀγγείων, σκευῶν πολυτίμων, λίθων τιμίων, ἀγαλμάτων, χειρογράφων καὶ ἄλλων· ἐμάνθανε δ' ἔτι καὶ ὅτι, καὶ κατὰ τὸ 1838 ὁ νομομαθὴς καὶ χαρίεις Κάρολος Ζαχαρία λαβὼν διά τινος τῶν ἐν Κωνσταντινουπόλει πρεσβειῶν καὶ τῆς Ὀθωμανικῆς ἐξουσίας παρὰ τοῦ ἐκεῖ Ἁγιοταφιτικοῦ Μετοχίου παλίμψηστον κώδηκα τοῦ δωδεκάτου ἢ δεκάτου τρίτου αἰῶνος, περιέχοντα τὰ ιε—ιη βιβλία τῶν Βασιλικῶν (Βλ. Supplem. edit. Basilicor. Heimbachianae. Lib. XV–XVIII. Basil. cum Schol. antiq. ect. ed. C. E. Zachariae a Lingenthal. Lipsiae, 1846. Ἔνθα οὐκ οἶδ' ὅπως τὸν ἀοίδιμον Ἱεροσολύμων Ἀθανάσιον μετωνόμασε Δημήτριον (Προλεγόμ. §. 2), ὅπερ ὄνομα οὔπω ἐν τοῖς Πατριάρχαις Ἱεροσολύμων εὕρηται) ἐπὶ ὑποθήκῃ, ὅτε ὑπομνήσαντες αὐτῷ τὴν ὑπόσχεσιν ἀπήτησαν τὸ χειρόγραφον, ἀνερυθριάστως μετεποίησε τὴν ὑποθήκην εἰς τίμημα, καὶ οὕτω κατακρατεῖ τὸ ἅρπαγμα! Εἴπερ, λέγω, ταῦτ' εἶχε πρὸ ὀφθαλμῶν ὁ ἀοίδιμος Κοραῆς, ἀντὶ ψόγων ἐπαίνοις ἔμελλε καταστέψειν τοὺς πλείστους τῶν φροντιστῶν τῶν μοναστηρίων, ἀνθ' ὧν μέχρις ἡμῶν ἠδυνήθησαν περισῶσαι χειρογράφων.

δοὺς βοηθοὺς τοὺς νόθους τοῖς γνησίοις» (α), ἀπαίρει ἐκεῖθεν εἰς Κωνσταντινούπολιν, Νεοφύτου τοῦ συνετοῦ τοὺς τῆς Πατριαρχείας οἴακας δεξιῶς ἰθύνοντος. Οὗτος οὖν τὸ χρηστὸν τοῦ Γρηγορίου ἦθος ἀγασθεὶς καὶ τὴν παιδείαν ἐνιδὼν, λαμβάνει αὐτὸν παρ' ἑαυτῷ καὶ τῆς προσηκούσης ἀξιοῖ τιμῆς καὶ εὐνοίας, ὡς ἀνέκαθεν εἴωθεν ὁ Οἰκουμενικὸς θρόνος τοὺς ζηλωτὰς καὶ παιδείᾳ μετ' ἀρετῆς κεκοσμημένους ἀμείβειν ἐπιεικῶς, παρορμῶν οὕτως καὶ εὖ μάλα παροτρύνων καὶ τοὺς λοιποὺς πρὸς μίμησιν αὐτῶν καὶ τὴν ἐξ ἁμίλλης βελτίωσιν. Ἀλλὰ μετ' οὐ πολὺ τοῦ ἀοιδίμου Καλλινίκου, ἀνδρὸς ἀξιολόγου καὶ ἐν εὐνοίᾳ καὶ τιμῇ δικαίᾳ παρὰ τοῦ πατριάρχου ἀγομένου, εἰς τὸν τῆς Σηλυβρίας ἀναβιβασθέντος θρόνον, καὶ πολλαῖς παρακλήσεσι τὸν Γρηγόριον παρὰ τοῦ Πατριάρχου αἰτησαμένου, προβιβάζεται οὗτος εἰς τὸ τοῦ πρωτοσυγκέλλου ἀξίωμα, καὶ ἀποστέλλεται εἰς Σηλυβρίαν, ἐν ᾗ διέπρεψεν ἐπὶ διετίαν τάς τε τοῦ ἀποστείλαντος αὐτὸν ἐλπίδας ἀξιαγάστως πληρώσας, καὶ τὸ πιστὸν ποίμνιον πολλαχῶς ὠφελήσας.

§. δ. Ἐν δὲ τούτοις περιελαλεῖτο ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἡ τοῦ ἐξ Ἰωαννίνων ἀοιδίμου Λάμπρου τοῦ Φωτιάδου ἀμφιλαφὴς σοφία, τοῦ παντοίαις ἀρεταῖς ἠγλαϊσμένου, ὃς ἐν Βουκορεστίοις ἐδίδασκε καὶ διέπλασσε δαιμονίως τὰς ψυχὰς τῶν αὐτοῦ ὁμιλητῶν (β). Καὶ δὴ ὡς μέλισσα ἕλκεται ὑπὸ τῆς φήμης τοῦ ἀοιδίμου ἐκείνου διδασκάλου εἰς Βουκορέστιον, ὡς ἐκεῖθεν καὶ τὰ τῆς σοφῆς Γερμανίας πανδιδακτήρια ἐπισκεψόμενος, ὅπου διέπρεπον τότε Οὐόλφιοι,

(α) Γρηγόρ. Ναζιανζ. Περὶ τοῦ ἰδίου βίου. Τόμ. β. σελ. 2.
(β) Βλ. I. Rizo Néroulos Cour de Littérature Grecque moderne. p. 59. Genève, 1828.

Βυτμάννοι, Μάτθίαι, Ἑρμάννοι, καὶ ὁ λοιπὸς θίασος τῶν ἐξαισίων ἐκείνων τῆς ἑλληνικῆς σοφίας ἑρμηνευτῶν καὶ κριτικῶν, τῶν ἀποτελούντων τὸν χρυσοῦν τῆς φιλολογικῆς ἐπιστήμης αἰῶνα, καὶ οὕτω πανταχόθεν, ὡς ὁ ἐπιφανέστατος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον τῆς ῥητορικῆς ἀξιοῖ διδάσκαλος, τὰ χρήσιμα συλλέξων (α). Καὶ ἤκουσε μὲν ἐπὶ μικρὸν τὰς τοῦ Φωτιάδου παραδόσεις· ἀλλὰ λοιμὸς εἰσκωμάσας εἰς τὴν πόλιν ἐκείνην ἠνάγκασεν αὐτὸν ἀποχωρῆσαι εἰς Φωξάνιον, ἔνθα κατῴκησεν εἰς τὸ τοῦ Ἁγίου Ἰωάννου μοναστήριον (β). Ἐκεῖ δὲ καὶ ἄλλοι πολλοὶ ἐτύγχανον καταφυγόντες, ἐν οἷς πανέστιος καὶ ὁ ἄρχων Πάνος Κωνσταντῖνος ὁ Χαντζερῆς, ὅστις ἐνιδὼν τὴν χρηστότητα καὶ τὸ ἐξηκριβωμένον τῶν γνώσεων τοῦ ἀνδρός, προσελιπάρησεν αὐτὸν τὰ ἴδια τέκνα διδάσκειν. Ὁ δὲ μετὰ πολλῆς προθυμίας τὴν παράκλησιν ἀποδεξάμενος, εὐδοκίμως ἀνέπλαττε τὰς ἐγχειρισθείσας αὐτῷ τῶν νέων ψυχάς, προσβιβάζων εἰς τὴν γνῶσιν τῆς τε ἑλληνικῆς γλώσσης καὶ τῆς ἄλλης ἐλευθερίου παιδείας, καὶ τὸν τοῦ Θεοῦ φόβον φαεινὴν καὶ στεῤῥὰν κρηπῖδα ταύταις κατατιθέμενος. Τότε δὲ καί τις σεβάσμιος καὶ ἀξιόλογος γέρων, Ἀρσένιος καλούμενος, ἐκ Μετσόβου τῆς Ἠπείρου, πεπιστευμένος τὴν ἡγουμενίαν τοῦ παρὰ τὸν ποταμὸν Μίλκοβον ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου σεμνυνομένου Βατοπαιδινοῦ μοναστηρίου,

(α) Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Ἰσοκράτ. πρὸς Δημόνικ. Παραίν. §. 6.

(β) Αὕτη ἡ μονὴ ἐξήρτηται ἐκ τοῦ παρὰ τὴν Θεσσαλονίκην μοναστηρίου τῆς Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας.

τοῦ καλουμένου Μῦρα (α), φιλίαν πρὸς τὸν Γρηγόριον σπεισάμενος οἵαν τὴν τῶν χρηστῶν ὁ ἐν ῥήτορσι φιλόσοφος Ἰσοκράτης ἀναγράφει, προσέκειτο αὐτῷ, παρακαλῶν ἵνα συγκαταταγῇ ἐν τῇ φίλῃ τῶν καλῶν καὶ τῆς παιδείας ἀδελφότητι τῶν Βατοπαιδινῶν (β), ἥτις ἅμα τοῦτο μαθοῦσα, ὁμοφώνως ἔγραψεν αὐτῷ καὶ τῷ διδασκάλῳ Γρηγορίῳ, ἵνα τὸ δόξαν εἰς πέρας ἀγάγωσιν. Ἀλλὰ τὸν Γρηγόριον προθύμως ἀποδεξάμενον τὴν τούτων πρόσκλησιν, μᾶλλον δ' εἰπεῖν τὴν τοῦ Θεοῦ κλῆσιν εἰς τὴν ἀπὸ τῆς καθ' ἡσυχίαν τῷ Θεῷ συνουσίας καὶ ὀλίγων ψυχῶν πνευματικῆς ῥυθμίσεως ἀνάβασιν εἰς πλειόνων προστασίαν καὶ ἀπλανῆ χειραγωγίαν πρὸς τὴν σωτηρίαν, ἐνέκοψαν τῆς ἀποφάσεως αἱ τοῦ ἄρχοντος Κωνστ. Χαντσερῆ ἐπίμονοι παρακλήσεις, ὅπως καὶ τὰ τοῦ αὐταδέλφου αὐτοῦ, τοῦ ἡγεμόνος Ἀλεξάνδρου Χαντσερῆ, τέκνα ἐκπαιδεύσῃ, ἐν Κωνσταντινουπόλει τότε τὰς διατριβὰς ποιουμένου.

§. ε. Οὕτω τοίνυν ἀφικόμενος πάλιν εἰς τὴν βασιλίδα τῶν πόλεων, διετέλεσε διδάσκων εὐδοκίμως ἐπὶ πενταετίαν μέ-

---

(α) Τοῦτο τὸ μοναστήριον ἀφιέρωσε τῇ τῶν Βατοπαιδινῶν ἀδελφότητι ὁ ἀείμνηστος ἡγεμὼν Κωνσταντῖνος ὁ Καντεμίρης.

(β) Τὸν ὑπὲρ τῆς παιδείας ζῆλον τῶν σεβασμιωτάτων Βατοπαιδινῶν ἀξιοπρεπῶς ἐπῄνεσεν ὁ ἀοίδιμος Ἀδαμάντιος ὁ Κοραῆς (βλ. Πλουτάρχ Βίοι παράλλ. Τόμ. ά. σελ. λς). Μαρτυροῦσι δὲ τὸ φιλομαθὲς τῶν Βατοπαιδινῶν καὶ φιλόκαλον πρὸς τοῖς ἄλλοις καὶ αἱ δύω ἐν τῇ αὐτῶν μονῇ πλουσιώταται βιβλιοθῆκαι, ὧν ἡ μὲν κεῖται ἐπὶ τοῦ νάρθηκος τοῦ ναοῦ, ἡ δὲ ἐν τῷ σκευοφυλακείῳ (Βλ. Ι. Κομνηνοῦ Προσκυνητάριον τοῦ Ἁγίου ὄρους τοῦ Ἄθωνος. σελ. 30. Ἑνετίῃσι, 1857. – Lamij Deliciae Eruditorum seu veter. ἀνεκδότων opusculor. collectan. pag. 258. Florent. 1740.), καὶ τὸ ὑπὸ τοῦ ἀοιδίμου Τραϊανουπόλεως Ἰακώβου ἱδρυθὲν ἐκεῖ νοσοκομεῖον (βλ. ἐφεξῆς §. θ. σημ.).

χρι τοῦ 1801, ἀγαπώμενος καὶ τιμώμενος ἐπαξίως παρὰ τῶν γνόντων αὐτὸν σεβασμίων ἀρχιερέων, κληρικῶν καὶ φιλοκάλων εὐγενῶν· ἀλλὰ τότε διαβαίνοντες αὐτόθεν ὅ,τε ῥηθεὶς ἀρχιμανδρίτης Ἀρσένιος καὶ ἕτερος ὁμότροπός τε καὶ ὁμοβάθμιος αὐτῷ Ἱερεμίας, καὶ πρόθυμον αὐτὸν καὶ ἐλεύθερον εἰς ἐκπλήρωσιν τῶν ὡμιλημένων εὑρόντες, ἐκοίνωσαν ταῦτα τῇ ἀδελφότητι. Ἡ δὲ ὁμοφώνως καὶ μετὰ σπουδῆς προσλιπαρεῖ μὲν τὴν μεγάλην τοῦ Χριστοῦ ἐκκλησίαν, ἵνα εὐδοκήσῃ χειροτονηθῆναι τὸν Γρηγόριον ἀρχιερέα Εἰρηνουπόλεως, πέμπει δὲ καὶ πρὸς αὐτὸν προσκλητηρίους ἐπιστολάς. Καὶ οὗτος ἀγαλλομένῳ ποδὶ σπεύδει Δεκεμβρίου φθίνοντος πρὸς τὸ ἅγιον Ὄρος, «ὅπερ οὐκ ἄν τις ἁμάρτοι πόλιν προσειπὼν οὐράνιον» κατὰ τὸν βασιλεύσαντα ἱστορικὸν Κανταχουζηνόν (α), «τὸ μόνον ὡς ἀληθῶς ἁπάσης τῆς ἀρετῆς κοινὸν ἐργαστήριον, τὸν τῶν ἑκασταχοῦ τῆς Οἰκουμένης ὁμολογουμένως ἐξειλεγμένον μάλιστα χῶρον, τὸν ἱερὸν χηραμόν, τὸ μέγα καὶ θαυμαστὸν ὄντως τῆς ἀρετῆς παγκράτιον, τῶν Ὀλύμπου πραγμάτων τὸν διαφερόντως νομέα· ἔνθα καὶ πάλαι καὶ νῦν διαλάμπει τὸ ἐν πᾶσι κοινωνικὸν τῶν πολιτευομένων καὶ τὸ φιλάλληλον, ἡ φιλοξενία, καὶ ἡ κατὰ θείαν μίμησιν ἐλεημοσύνη, καὶ μάλιστα ἡ πρὸς ἀνάκτησιν τοῦ ἀρχαίου κάλλους ὑπερφυὴς ἅμιλλα» (β). Προσέρχεται δὲ εἰς τὸ πάντοτε διαπρέψαν

(α) Ἱστοριῶν. Β. 39. Τόμ. ά. σελ. 545. ἐκδ. Bon.

(β) Φιλοθέου Κωνσταντινουπ. Ἀντιρρητικ. ΙΒ. παρὰ Δοσιθέῳ Τόμ. Ἀγάπης σελ. 173—176. πρβλ. καὶ ὅσα περὶ τῶν φυσικῶν ἀρετῶν τοῦ ἁγιωνύμου Ὄρους φησὶ Νικηφόρος ὁ Γρηγορᾶς (Ἱστορ. Βυζαντ. ΙΔ'. γ. Τόμ. β. σελ. 714—718. ἐκδ. Bon.). «Οὐκ ἄκαιρον δ' ἴσως, ἵνα καὶ τὸ ἐφεξῆς τεμάχιον ἐκ τῆς πρὸς τοὺς ἐν τῷ ἁγίῳ Ὄρει πανοσιωτάτους καθηγουμένους ἀνεκδότου

καὶ νῦν δ' ἔτι διαπρέπον ἐπὶ παιδείᾳ καὶ ἀρετῇ, καὶ φιλανθρώποις ἔργοις μοναστήριον τοῦ Βατοπαιδίου, ἐν ᾧ ἡ ἀληθὴς τῆς μοναχικῆς πολιτείας τέμνεται ὁδός, ἡ κοινοκτημοσύνη καὶ κοινῇ διαβίωσις (α). Οἱ δὲ σεβάσμιοι τούτου πατέρες ὑποδεξάμενοι αὐτὸν ἐν χαρᾷ προβιβάζουσιν ἡγούμενον κατὰ τὰ ἔκπαλαι παραδεδομένα (τῇ 12 Ἰαννουαρ. 1802). Οὐ πολλῷ δ' ὕστερον τῶν κανονικῶν ἐξενεχθεισῶν ψήφων προχειρίζεται ὁμογνωμόνως μητροπολίτης Εἰρηνουπόλεως καὶ Βατοπαιδίου, τὴν χειροτονίαν τελέσαντος κατὰ

---

συμβουλευτικῆς ἐπιστολῆς τοῦ ἀοιδίμου Μελετίου τοῦ Πηγᾶ, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας Πατριάρχου καὶ φωστῆρος, ἐπισυνάψωμεν· «Ἡμεῖς δὲ, φησίν, οἱ τὸ σχῆμα φοροῦντες τὸ ἀγγελικὸν, περισσότερον ὀφείλομεν καὶ βίον βιοτεύειν ἀγγελικόν, βαρυτέρας τε ἐνοχῆς καὶ φοβερωτέρου κρίματος ὑπόδικοι καθιστάμεθα, ἐὰν μὴ κατ' ἴχνος ἐπώμεθα τῷ Σωτῆρι, μάλιστά γε καὶ τόπους οἰκοῦντες γυναικῶν καὶ παιδίων κεχωρισμένους, καὶ τῶν ὑλῶν ἐκείνων καὶ τῶν μεριμνῶν, αἳ τὸν βίον ἡμῖν ἐμποδίζουσι τὸν ἀγγελικόν, καὶ παραδείγματα ἔχοντες πρὸ ὀφθαλμῶν ἐκκείμενα, τοὺς πατέρας ἐκείνους, τοὺς ἐν τῇ πολιτείᾳ δίκην λάμψαντας ἀστέρων· ὧν καὶ τὰ ἱερὰ λείψανα καὶ παρὰ Θεοῦ δεδοξασμένα κατέχοντας, τούς τε τόπους, ἐν οἷς τὰς παλαίστρας διήνυσαν τὰς ἀσκητικὰς, οἱόν τινας σταδίους τῶν παγκρατιαστῶν βλέποντάς τε καὶ πατοῦντας, πρὸς ταῦτα δὴ παρακαλῶ ὑμᾶς, αδελφοί, ἐνατενίζειν καὶ μὴ καταριθμεῖν (ἴσ. γρ. καταρραθυμεῖν) ταῖς ἰδίαις καὶ ἀτάκτοις ὁρμαῖς παρεκτρεπόμενοι» (ἴσ. γρ. παρεκτρεπομένους).

(β) «Στάδιον οὖν ἀθλήσεως καὶ προκοπῆς εὐωδία καὶ διηνεκὴς γυμνασία καὶ μελέτη τῶν τοῦ Κυρίου ἐντολῶν ἡ ἐπὶ τὸ αὐτὸ κατοίκησίς ἐστι τῶν ἀδελφῶν· σκοπὸν μὲν ἔχουσα τὴν δόξαν τοῦ Θεοῦ κατ' ἐντολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος «*οὕτω λαμψάτω τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων*», χαρακτῆρα δὲ σῴζουσα τῶν ἐν ταῖς πράξεσιν ἱστορουμένων ἁγίων, περὶ ὧν γέγραπται· «*πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινά*» *κτλ.* Μ. Βασιλ. Ὅροι κατὰ πλάτος Τόμ. Β. σελ. 430.

συνοδικὴν ἀπόφασιν τοῦ ἱερομάρτυρος Γρηγορίου τοῦ πατριάρχου (ἐκεῖ τότε ἐν ἐξορίᾳ διατελοῦντος) μετ' ἄλλων τριῶν ἀρχιερέων. Τρεῖς δὲ μῆνας ἐν Βατοπαιδίῳ διατρίψας, ἀποστέλλεται διάδοχος τοῦ καλοῦ Ἀρσενίου εἰς τὸ τῶν Μύρων μοναστήριον, καὶ γενικὸς ἔφορος τῶν λοιπῶν ἐν Μολδαυΐᾳ Βατοπαιδινῶν μοναστηρίων καὶ τῶν ὑπ' αὐτὰ σκητῶν. Τότε ὁ Γρηγόριος κατέδειξε τηλαυγέστερον τὸν ἐν τῇ καρδίᾳ αὐτοῦ ἀποτεταμιευμένον θησαυρὸν τῶν ἀρετῶν, φροντίζων θεοφιλῶς ὑπὲρ τῆς εὐσταθείας καὶ εὐημερίας τῆς ἀδελφότητος. Εἰδὼς δ' ἐξ ἰδίας πείρας ἅτε μύστης καὶ τρόφιμος τῆς καλῆς ἀγρυπνίας καὶ τὴν κιθάραν τοῦ Δαβὶδ τῷ τῆς ἑαυτοῦ γλώττης πλήκτρῳ πολλάκις κρούειν προθυμηθείς· εἰδὼς φημί, τῆς καλῆς ἀγρυπνίας καὶ μετὰ τοῦ Θεοῦ κοινωνίας τὸ χρήσιμον, οὐδὲ περὶ ταύτην διὰ τὴν τῶν λοιπῶν ἀρετῶν ἄσκησιν καὶ τὰς κοσμικὰς φροντίδας ἀμελέστερον εἶχεν, ἀλλὰ πᾶσαν καταβάλλων σπουδὴν εἰς τὴν ἐκείνων ταχεῖαν ἐκτέλεσιν τούς τε ἄλλους εἰς τὴν πνευματικωτέραν ταύτην γυμνασίαν προέτρεπε, καὶ αὐτὸς αὐτῇ ὅλος παρεδίδοτο, ὡς μητρὶ φιλοστόργῳ, ἐν ἀπερικτυπήτῳ καὶ ἡσυχίας καὶ νήψεως καὶ γαλήνης καὶ μεστῆς εἰρήνης μεμεστωμένῳ χωρίῳ ἀνοιγνυούσῃ ἡμῖν τοὺς ἑαυτῆς θησαυροὺς τῆς σοφίας, καὶ τῶν σεπτῶν παραινέσεων, καὶ τῶν θείων ἐλλάμψεων, καὶ λεληθότως πληρούσῃ τοὺς κόλπους ἡμῶν τῆς ψυχῆς, κατὰ τὸν χρυσοῤῥόαν Νεῖλον, τὸν τοῦ χρυσοῤῥήμονος μαθητήν (α). Τῷ ἰδίῳ δὲ παραδείγματι τελεσφόρως ἐδίδασκε

(α) Βλ. Τὴν κς. τοῦ Α. βιβλίου ἐπιστολὴν αὐτοῦ, ἐν ᾗ διὰ

τοὺς συνόντας δουλαγωγεῖν τὸ σῶμα διὰ προσευχῆς καὶ νηστείας καὶ κόπου καὶ ἀναγνώσεως τῶν θείων Γραφῶν· ἐκήρυττε τὸν λόγον τοῦ Θεοῦ μετὰ ζήλου πολλοῦ, ἐμφυτεύων τοῖς ἀκροωμένοις τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν ἀγάπην, καὶ ὁπλίζων αὐτοὺς κατὰ τῆς ὑπερηφανείας, τῆς πλεονεξίας καὶ τῶν λοιπῶν σαρκικῶν πειρασμῶν. Καθάριος καὶ ἀπέριττος τὴν ἐσθῆτα, λιτὸς καὶ ὀλιγαρκὴς τὴν τροφήν, φιλοσόφως ἐσπούδαζεν ὡς ἐλαχίστων δεῖσθαι, ὑπὲρ ἑαυτοῦ μὲν τοῖς ἰδίοις ὡς ἀλλοτρίοις χρώμενος, τοῖς δὲ δεομένοις ἔκ τε τῶν ἐνόντων ἐπαρκῶν καὶ τὰ ἐλπιζόμενα κατεγγυώμενος. Καὶ συνελόντι φάναι, τὴν πρᾶξιν τῆς θεωρίας προτιμήσας, καίτοι μηδὲ ταύτης πάντῃ ἄγευστος ὢν (α). Κηρύττουσιν αὐτοῦ ταῦτα, καὶ τὸ εὐπρόσιτον, πραΰθυμον καὶ ἄχολον τοῦ ἤθους, καὶ τὸ ἐνάρετον τοῦ βίου, τῶν ἀπολαυσάντων αὐτοῦ οἱ ἐπιζῶντες, χρηστὸν αὐτὸν ὑπόδειγμα πρὸς μίμησιν τοῖς νεωτέροις προβαλλόμενοι.

§. ς. Διατρίψας δὲ τετραετίαν ὅλην ἐν Μύροις, ψήφῳ τῆς τοῦ Βατοπαιδίου ἀδελφότητος μετέβη εἰς Ἰάσιον (τῷ 1806) καὶ ἀνέλαβε τὴν ἡγουμενίαν τοῦ ἱεροῦ μοναστηρίου τῆς Κόλιας. Ἐλθὼν δὲ ἐκεῖ, καίτοι πολλῶν δυσχερειῶν ὑπαρχουσῶν ἕνεκα τοῦ τότε ἐκραγέντος μεταξὺ Ῥωσσίας καὶ Τουρκίας πολέμου, κατήρτισε τὰ τοῦ μοναστηρίου πράγματα καὶ πρὸς τὸ κρεῖττον διευθέτησε. Κατὰ δὲ τὸ

---

πολλῶν δείκνυσι τὸ καὶ παντὶ μέν, μάλιστα δὲ τοῖς μοναχοῖς ἀναγκαῖον καὶ χρήσιμον τῆς ἀγρυπνίας καὶ προσευχῆς· προβλ. καὶ ἐπις. κζ.—λ. σελ. 10—15.

(α) Βλ. Γρηγορ. Ναζ. Γνωμολ. Τετράς. Τόμ. Β. σελ. 156. προβλ. καὶ τὸ ἀξιόλογον τοῦ ἰατροφιλοσόφου Θωμᾶ Μανδακάση Σύγγραμμα περὶ τῶν ἀοράτων διὰ τῶν ὁρατῶν ἐ νοουμένων πραγμάτων κτλ. σελ. 114. Λειψία, 1760.

1810, ὅτε τὰ νικηφόρα ὅπλα τῶν Ῥώσσων στραταρχοῦντος τοῦ γενναίου Κουτούσοφ ἀπὸ τοῦ Δνείστρου μέχρι τοῦ Αἵμου διέτρεχον, καὶ πάντα ὑπεῖκον τῇ στρατιωτικῇ κυβερνήσει, ἐπιταγεὶς ὁ Γρηγόριος ἵνα παραδῷ τὴν μονὴν αὐτοῦ τῇ τότε τὰ τῆς Μολδαυίας ἐκκλησιαστικὰ διεπούσῃ ἀρχῇ καὶ μὴ βουληθεὶς ἄνευ τῆς ἐγκρίσεως τῆς ᾗ προσῆκεν ἀδελφότητος πρᾶξαι τὰ ἐπιτασσόμενα, ἀποπέμπεται ἐξορίστος εἰς Καζάνιον, ὅπου παρὰ τῶν φιλοθέων Ῥώσσων πολλῶν ἠξιώθη τιμῶν καὶ φιλοφρονήσεων, θαυμαζόντων τὰς ποιμενικὰς αὐτοῦ ἀρετάς. Ἀλλὰ μετὰ διετῆ ἐξορίαν, τῶν πραγμάτων εἰρηνευσάντων καὶ συνθηκῶν γενομένων, ἐπανέρχεται πάλιν εἰς τὸ ποθεινὸν αὐτῷ στάδιον τῆς ἀρετῆς. Καὶ ὥσπερ φιλεῖ γίνεσθαι τοῖς ἁγνοῖς καὶ ὑπὲρ τὰ γήϊνα ἔρωσι, μετὰ πλείονος ζήλου καὶ σπουδῆς τὸν τῆς ἀρετῆς δρόμον τρέχειν πάλιν ἤρξατο. Τοσαύτας γὰρ τότε διεπράξατο ἀρετάς, ὥστε οὐκ ἂν ἀπεικότως εἴποιμεν καὶ ἡμεῖς τὰ τοῦ ὁμωνύμου αὐτῷ Θεολόγου. «Δεῦρο οὖν μοι διέλεσθε τὰ ἐκείνου καλά, ὅσοι τῶν ἐκείνου ἐπαινέται καὶ μάρτυρες, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθε πρὸς ἀλλήλους· Ἄνδρες ὁμοῦ καὶ γυναῖκες, νεανίσκοι καὶ παρθένοι, πρεσβῦται μετὰ νεωτέρων» (α). Τοσοῦτον γὰρ ἦν σεμνοπρεπής, συμπαθής, εἰρηνικὸς καὶ τοῦ καλοῦ τοῦ πλησίον ζηλωτής, ὥστε πάντες συνέτρεχον οἱ ἐν ἀνάγκαις παντοίαις τυγχάνοντες καὶ οἱ τοῦ χρόνου φειδόμενοι· ὁ δὲ τοῖς πᾶσι γινόμενος τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσῃ, οὐδένα κενὸν ἀπέπεμπεν, ἀλλὰ κατὰ τὴν περιοῦσαν αὐτῷ χάριν καὶ δύναμιν ἐθεράπευε. Πολλὰς γὰρ ἐπήνεγκεν ὁ ἑξαετίαν τότε διαρκέσας πόλεμος

(α) Γρηγορ. Ναζ. Λόγ. εἰς τὸν Μ. Ἀθανάσιον. Τόμ. Α'. σελ. 379.

συμφοράς. Ὅθεν πολλαχοῦ τις ἔβλεπε πεινῶντας καὶ θρηνοῦντας διὰ τὰ ἐκ τοῦ πολέμου κακά. Ὁ τοίνυν Γρηγόριος ἐνθυμούμενος τὰ τοῦ ἐπωνύμου τῆς Θεολογίας, «εἰ δὲ, φάσκοντος, δεῖ Παύλῳ καὶ αὐτῷ Χριστῷ πειθόμενον, πρώτην τῶν ἐντολῶν καὶ μεγίστην, ὡς κεφάλαιον νόμου καὶ προφητῶν, τὴν ἀγάπην ὑπολαμβάνειν· ταύτης τὸ κράτιςον εὑρίσκω φιλοπτωχίαν καὶ τὴν περὶ τὸ συγγενὲς εὐσπλαγχνίαν τε καὶ συμπάθειαν» (α), οὐκ ὀλίγας πτωχὰς καὶ τοῦ ἐπιουσίου ἐστερημένας ἄρτου ἐντίμους οἰκογενείας ἐπαρκεῖ σιτηρεσίῳ διέθρεψε καὶ διέσωσε τοῦ τῆς ἐνδείας καὶ ἀπελπισίας ψυχοβλαβοῦς κρημνοῦ. Πολλαῖς διχονοούσαις καὶ εἰς πανώλεθρον διάζευξιν καταστῆναι κινδυνευούσαις τὴν εἰρήνην καὶ ἀμοιβαίαν ἀγάπην διὰ λόγων πατρικῶν ἐπρυτάνευσε, τὰς ἔριδας καὶ διαμάχας ἐπιτηδείως ἐξορίσας. Πολλῶν δὲ διὰ τῆς διδασκαλίας κατὰ τὸ μέτρον τῆς δοθείσης αὐτῷ χάριτοςκαὶ γνώσεως ἐξέκαιε τὸν θεῖον ζῆλον, καὶ τὴν εὐσέβειαν ἐκράτυνεν, εἰς νομὰς αὐτοὺς σωτηρίας τοῖς ἔργοις μάλιστα καθοδηγῶν. Οὐκ ὀλίγων δὲ ἀδικουμένων καὶ μὴ ἐχόντων διεκδικητὴν καὶ προστάτην τὴν ἀμηχανίαν καὶ ἀπελπισίαν ἐθεράπευε, γενναῖος προστάτης αὐτῶν αὐτόκλητος παρὰ τῷ ἡγεμόνι καὶ τοῖς ἰσχυροῖς γινόμενος, καὶ πατρικῶς ἐκείνοις ἐπιλέγων τὸ τοῦ σοφοῦ «δικαίος Κύριος, καὶ δικαιοσύνας ἠγάπησε». Καὶ πάντες κατεκηλοῦντο ὑπὸ τῆς τῶν λόγων σειρῆνος τοῦ σεβασμίου ποιμενάρχου καὶ ἐπὶ τὴν ἀῤῥαγῆ πέτραν τῆς πίστεως ἐστηρίζοντο, πολλὴν ἐκ τῶν πατρικῶν νουθεσιῶν καὶ παραινέσεων καὶ τῶν οἵων ὁ ἀγαθὸς ἀξιοῖ Πλούταρχος ἐπιτιμημάτων τὴν ὠ-

---

(α) Γρηγορ. Ναζιανζ. Λογ. Περὶ φιλοπτωχίας. Τομ. Α. σελ. 241, 242.

φέλειαν καρπούμενοι (α). Ἀλλὰ καὶ παρὰ τοῖς μὴ αὐτὸν προσωπικῶς εἰδόσι τῶν καλῶν ἐρασταῖς διὰ στόματος ἤγετο τῇ φήμῃ,

Ἥ τε μάλιστα κλέος φέρει ἀνθρώποισι (β)·

ὅθεν καὶ «πτερόεντας τοὺς λόγους ἀπεκάλεσεν Ὅμηρος, ὅτι φοιτᾷν ἁπανταχοῦ δύνανται καὶ τὴν ἀλήθειαν διατρανοῦν καὶ τοῖς πόῤῥω διαιτωμένοις», ὡς αὐτὸς ὁ Γρηγόριος παρέργως σχολιάζων τὸν Ὅμηρόν φησιν ἐν τῇ πρός τινα τῶν ἐν Ῥωσσίᾳ ἀρχιμανδριτῶν Ἀττικῆς αὔρας ἀποπνεούσῃ ἐπιστολῇ αὐτοῦ (γ), ἐν ᾗ καταφαίνεται τηρῶν

---

(α) Πλούταρχ. περὶ παίδ. ἀγωγῆς. — (β) Ὀδυσ. Α. 281.

(γ) Ἰδοὺ ἡ ἐπιστολὴ, ἣν ἀγαθῇ μοίρᾳ περιελθοῦσαν ἡμῖν αὐτόγραφον καταχωρίζομεν αὐτολεξεί. « Ὑψηλοπανοσιώτατε ἅγιε ἀρχιμανδρῖτα, εὐσπλαγχνικώτατέ μοι Κύριε! Πεφιλοτίμηται ἄρα ἡ θεσπεσία σου ψυχὴ παραστῆσαι τὰ τῆς ἀρετῆς σπέρματα πολύχουν τὸν καρπὸν καὶ γενναῖον προϊσχόμενα πολλοῖς τῶν πειραθέντων τῆς ἀγαθῆς προαιρέσεως καὶ ἐν χρείᾳ σου γενομένων τῆς θερμῆς προστασίας καὶ ἀντιλήψεως. « Ψεύδεϊ δὲ οὐ τέγξω τὸν λόγον», ὥς τις τῶν ποιητῶν ἔφη. Διεπιστώσαντο γὰρ ἡμῖν ταῦτα τοῖς πολλῷ τῷ μήκει τῆς ὁδοῦ διεσπασμένοις καὶ ἀπειργμένοις τῆς αὐτοπροσώπου καὶ ἀμέσου ἐντεύξεως λόγοι· λόγοι, οὓς πτερόεντας ἀπεκάλεσεν Ὅμηρος δι' οὐδὲν ἄλλο, οἶμαι, ἢ ὅτι φοιτᾷν ἁπανταχοῦ δύνανται καὶ τὴν ἀλήθειαν διατρανοῦν καὶ τοῖς πόῤῥω διαιτωμένοις. Καί μου ἀνέξεται ἡ θεόφρων σου ψυχὴ λέγοντος ὅτι συνέδραμον ἄρα αὐτῇ τὰ τρία ἐκεῖνα, ἅπερ ὁ Χαιρωνεὺς Πλούταρχος πρὸς τὴν παντελῆ δικαιοπραγίαν ἐναπαιτούμενα φθὰς ἐδήλωσε. Τίς γὰρ ἂν ἔξαρνος γένοιτο, ὡς οὐκ ἀγαθὴ φύσις, οὐ λόγος ἔκ τε τῆς θύραθεν καὶ τῆς ἡμετέρας ἱερᾶς αὐλῆς, οὐκ ἔθος ἑπόμενον καὶ ἱερῷ χαρακτῆρι ἄντικρυς ἐμπρέπον κατεστόλισαν τὴν σὴν θυηφόρον καὶ θεσπεσίαν κορυφὴν, καὶ ἔμψυχον ἄγαλμα τῶν ἀριζήλων ἀρετῶν ἀνέδειξαν; Ταῦτ' ἄρα κἀγὼ ἐπείγομαι γνωσθῆναι ὑμῖν καὶ ἀξιωθῆναι τῆς ὑμετέρας ἀγάπης· ἧς οὐδὲν ἐμοὶ δοκεῖ τιμαλφέστερον, οὐδὲ αἱρετώτερον, οὐδὲ μᾶλλον

ἀκριβῶς τὸν φιλοποιὸν ἐκεῖνον νόμον τοῦ εἰπόντος «τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον, ὅςτις ἄριστος» (α). Ὅτε δὲ τῷ 1818 ὁ εὐλογημένος τῆς Ῥωσσίας Αὐτοκράτωρ, Ἀλέξανδρος ὁ Α, ἀφίκετο εἰς Κισνόβιον, ἐμφανισθεὶς αὐτῷ καὶ ὁ Γρηγόριος, ἐπιεικεστάτης ἔτυχε δεξιώσεως καὶ προσηκούσης τῇ τε φιλοθέῳ καὶ βασιλικῇ ἐκείνου μεγαλοψυχίᾳ καὶ τῷ ἰδίῳ ἀξιώματι καὶ λόγῳ· καὶ προσηνοῦς δ' ἀκροάσεως ἐν οἷς αὐτῷ τὴν τῶν εὐαγῶν Μοναστηρίων προστασίαν ἀνετίθετο, συνήγορον ἔχων ἀξιόχρεων τὸν ἀείμνηστον Ι. Καποδίστριαν, πρὸς ὃν καὶ ἀλληλογραφίαν εἶχεν ὁ Γρηγόριος, ὡς καὶ πρὸς τὸν ὁμόψυχον αὐτῷ Ἀλέξανδρον τὸν Στούρζαν.

§. ζ. Κατὰ δὲ τὸ 1821, ὅτε παῖδες Ἑλλήνων διασαλπίσαντες τὸ θούρειον ᾆσμα ὥρμησαν ἵνα τὸν βαρὺν τῆς αἰχμαλωσίας ζυγὸν κατασυντρίψωσι, τότε δὴ τότε καὶ ὁ Γρηγόριος ἐν τοῖς μάλιστα πρόθυμος συνεργὸς καὶ μέτοχος ἐγένετο, τὴν περιουσίαν τῆς ἐν αὐτῷ ἐνοικούσης φιλαδελφίας ἐπιδειξάμενος· ὥστε καὶ ὁ ἀοίδιμος Ἀλέξαν-

---

θηράσιμον. Ταύτης γὰρ εὐμοιρήσας, τῶν τρισολβίων ἂν εἴην εἰκότως· οἱ μὲν γὰρ δόξῃ καὶ τιμῇ χαίρουσιν, οἱ δὲ πλούτῳ κεχηνότες τυγχάνουσιν, ἐμοὶ δὲ εἶναί τε καὶ φαίνεσθαι ἀξίῳ τοιούτου ἀνδρός, καὶ τοιαύτης ἀπολαύειν συνηθείας καὶ φιλίας, ἱκανώτατον. Δός τοίνυν, ὦ θεία καὶ ἱερὰ κορυφή, ἀφθόνως ἀπολαύειν σοῦ καὶ τῶν σῶν, «ἔστ' ἂν τὸν ζωτικὸν ἀναπνέων τυγχάνω, καί μοι φίλα γούνατ' ὀρώρῃ». Τῇ 18 Φεβρουαρ. 1816. Ἐξ Ἰασίου τῆς Μολδαυΐας».

(α) Βλ. Ἱεροκλέους τοῦ φιλοσόφ. εἰς τὰ τῶν Πυθαγορ. χρυσᾶ ἔπη ὑπόμνημα, ὅπερ μετὰ πολλῶν καὶ ἀξιολόγων σημειώσεων ἐξέδοτο ὁ πολυμαθέστατος καὶ φιλέλλην φιλολόγος Φρ. Μουλλάχιος τῷ 1853 ἐν Βερολίνῳ. σελ. 49.

δρος Ὑψηλάντης αὐτὸν προσεκάλεσεν ἵνα καθαγιάσῃ τὴν σημαίαν τῆς ἐπαναστάσεως, εἰδὼς τὴν φιλοπατρίαν καὶ τὸν ζῆλον αὐτοῦ, δι' ὃν προθύμως ἂν ἱερούργει ὁ Γρηγόριος, εἰ μὴ τοῦ ἐπίσης ζηλωτοῦ καὶ ἀξιαγάστου μητροπολίτου Μολδαυΐας, τοῦ ἀειμνήστου Βενιαμίν, ὁ ἄκρος καὶ ἀρίζηλος ἐνθουσιασμὸς ὑπερπηδήσας πάντα τὰ τὸν στρατάρχην ἐπισχόντα πολιτικὰ ἐμπόδια, αὐτόκλητος ἐτελεσιούργει τὸν ἁγιασμὸν τῇ 26 Φεβρ. τοῦ 1821 (α). Οὐ μόνον γὰρ καὶ αὐτὸν τὸν ὀβολὸν αὐτοῦ εὐθέτως συνεισήνεγκεν ὑπὲρ τῆς ἐπιτυχίας τοῦ σκοπηθέντος, ὡς ἀποδείκνυται ἐκ τῶν ὀλίγων σωζομένων μαρτυριῶν (β), ἀλλὰ μετ' οὐ πολύ, τοῦ ἀοιδίμου ἀρχηγοῦ τῆς ἐν Δακίᾳ Ἑλληνικῆς ἐπαναστάσεως δυσπραγήσαντος, ὡς μὴ ὤφελε, καὶ τῶν πραγμάτων ἐπὶ τὸ χεῖρον χωρούντων, καὶ πολλῶν κακουργημάτων παρά τε τῶν Βλάχων καὶ τῶν κατ' ἐκείνας τὰς χώρας εἰσβαλόντων πολεμίων δια-

(α) Βλ. τοῦ ζηλωτοῦ τῶν πατρίων καὶ παντὸς ἐθνικοῦ συμφέροντος προασπιστοῦ Ι. Φιλήμονος Δοκίμιον ἱστορικὸν περὶ τῆς Ἑλληνικῆς ἐπαναστάσεως. Τόμ. Β. σελ. 88, καὶ τὴν ἐν σελ. 291 σημείωσιν· ἔνθα κατὰ τυπογραφικόν, ὡς ἔοικε, παρόραμα παρεισέφρησε τὸ *Ἱεραπόλεως*, ἀντὶ *Εἰρηνουπόλεως*· ὅτι γὰρ ὁ ἐν Ἰασίῳ *διαμένων σπάνιος ἀληθῶς ἀνὴρ διά τε ἄλλα ἀγαθὰ αἰσθήματα* καὶ *τὸν ἔξοχον ὑπὲρ της πατρίδος ἐνθουσιασμὸν* αὐτοῦ, κατὰ τὴν τοῦ ἱστορικοῦ δικαίαν ἔκφρασιν, οὐκ ἦν ὁ Ἱεραπόλεως Φιλόθεος, δεικνύουσιν ἄλλα τε καὶ τὸ ἐν σελ. 302 τοῦ αὐτοῦ τόμου μαρτυρικόν, τὸ ἐπιδοθὲν κατὰ τὸ 1822 τῷ Κ. Κουμπάρῃ, ἐν ᾧ καὶ ὁ Ἱεραπόλεως ὑπογέγραπται ὡς ὑπ' αὐτοῦ τῷ 1821 διασωθεὶς ἐκ Κωνσταντινουπόλεως *εἰς τὸ φιλανθρωπότατον ἄσυλον της κραταιᾶς Ῥωσσίας*. Ἔγραψε δὲ τὸ μαρτυρικὸν ἐκεῖνο ὁ ἀοίδιμος ἡμῶν Πατὴρ κατ' αἴτησιν τοῦ Κ. Κουμπάρη.

(β) « Τὰ εἰς τὴν ἐν Σπάρτῃ Ἀκαδημίαν ἀφιερωθέντα δεκαὲξ χιλιάδες γρόσια παρὰ τοῦ φιλογενεστάτου ἁγίου Εἰρηνουπόλεως καὶ Βατοπαιδίου Κυρίου Γρηγορίου τὰ ἐλάβαμεν σήμερον,

πραττομένων, ἀπέρχεται εἰς Κισνόβιον μεθ' ὅσων κειμηλίων τοῦ μοναστηρίου ἠδυνήθη διασῶσαι τῆς τῶν ληϊζομένων ἁρπαγῆς καὶ ἀπληστίας. Ἀλλ' ἐκεῖ οὐ μεθῆκεν ἑαυτὸν εἰς βίον ἄπρακτον καὶ ἄφροντιν, ὥσπερ οἱ σπόγγοι ταῖς γαλήναις ἐκνεκρούμενος καὶ καταμαραινόμενος, οὐδ' ἔκρυπτε τὸ πεπιστευμένον αὐτῷ παρὰ τοῦ Κυρίου τάλαντον· ἀλλὰ μηδαμῶς ὑπὸ τῆς ἀπελπισίαν συνήθως τικτούσης ταῖς ἀδυνάτοις ψυχαῖς συμφορᾶς τὸ τοῦ ζήλου ὑπερβάλλον χαλάσας, ἀνδρείως ἠσχολεῖτο πάσῃ σπουδῇ ἵνα παραμυθήσηται καὶ στηρίξῃ βοηθῶν τοὺς ἐκεῖ διασωθέντας ἀπὸ τῆς ῥομφαίας τοῦ μαινομένου τυράννου δυστυχεστάτους ὁμογενεῖς. Ὑπὲρ γὰρ τοὺς ἑπτακοσίους πρόσ-

---

καὶ τῷ ἐδώσαμεν τὴν παροῦσαν ἀπόδειξιν· ἐν Ἰασίῳ. 1821 Ὁ τριεραρχίτης Σεραφείμ. Ὁ ἴδιος καὶ διὰ Λουκᾶ Φλωρεστίου. Παναγ. Διογενίδης. Φώτιος Ἠλιάδης. Παναγιώτης Πάνος».

«Ὁ πανιερώτατος καὶ φιλογενὴς Εἰρηνουπόλεως Γρηγόριος ἀφιέρωσεν εἰς τὸν ἑλληνικὸν στρατὸν μίαν μίτραν ἀσημένιαν μαλαγματοκαπνισμένην μὲ πέτρας, μίαν πατερίτζαν ζιδεφένιαν, ἓν ἐγκόλπιον ἀσημένιον μαλαγματοκαπνισμένον μὲ δύο πέτρας σμαράγδι, καὶ μὲ ἕνα σταυρὸν μὲ ῥουμπίνια, καὶ μίαν στολὴν ἱερατικὴν ὁλόκληρον καλήν· διὸ ἔλαβε τὴν παροῦσαν ἀπόδειξίν μας. ἐν Ἰασίῳ 1821, Μαρτ. 7. Ὁ τριεραρχίτης Σεραφείμ. Ὁ ἴδιος καὶ διὰ Λουκᾶ Φλωρεστίου. Π. Διογενίδης. Παν. Δ. Πανόπουλος. Φώτιος Ἠλιάδης ».

«Ὁ πανιερώτατος καὶ φιλογενέστατος Δεσπότης Εἰρηνουπόλεως Κύριος Γρηγόριος ἐπρόσφερε συνδρομὴν εἰς τὸν ἐν Ἰασίῳ Ἑλληνικὸν στρατὸν δύο χιλιάδες ὀκάδες μολύβι, καὶ τῷ ἐδόθη ἡ παροῦσα ἀπόδειξις. 1821, Μαΐου 7. ἐν Σκουλενίῳ. Ὁ Τριεραρχίτης Σεραφείμ, ὅστις καὶ διὰ Λουκᾶ Φλωρεστίου. Π. Διογενίδης. Παναγ. Δ. Πανόπουλος, Φώτιος Ἠλιάδης.

Οἱ ἐνταῦθα ὑπογεγραμμένοι ἀπετέλουν τὴν ἐν Ἰασίῳ ἐφορίαν, περὶ ἧς ὡς καὶ περὶ τῶν κατὰ τόπους ἐφοριῶν βλ. Φιλήμον. Δοκίμ. Ἱστορ. Τόμ. Α. σελ. 37, 90, 186, 246.

φυγας ἔκ τε τῆς Κωνσταντινουπόλεως καὶ ἀλλαχόθεν καὶ ἐκ τῶν μετὰ τὴν ἐν Σκουλενίῳ πεισματώδη μάχην διασωθέντων κατέστησεν εἰς τὸ ἐν Βασσαραβίᾳ κτῆμα τοῦ Βατοπαιδίου, τὴν Ὀξύνθιαν, τροφὴν αὐτοῖς, ἐνδύματα καὶ πάντα τἀναγκαῖα χορηγῶν καὶ πατρικῶς ἐπιλέγων ἑκάστῳ τὸ τοῦ Ἀβιμέλεχ· «Ἰδοὺ ἡ γῆ μου ἐναντίον σου· οὗ ἂν σοι ἀρέσκῃ, κατοίκει» (α). Ἀλλὰ καὶ τῆς πρὸς παραμυθίαν καὶ ἀνάκτησιν τῶν πολλαχῶς θλιβομένων, τῶν ἐν αἰχμαλωσίᾳ κακοπαθούντων ἀδελφῶν Ἑλλήνων, ἐν τῇ φιλανθρώπῳ καὶ φιλαδέλφῳ καὶ φιλέλληνι Ῥωσσίᾳ ἐπινεύσει τοῦ εὐλογημένου Αὐτοκράτορος Ἀλεξάνδρου συσταθείσης φιλανθρωπικῆς Ἑταιρίας (β) ἐν τοῖς πρώτοις διετέλεσε, τῷ ἰδίῳ μάλιστα παραδείγματι πλείστους πρὸς συνδρομὴν γενναίαν προτρεψάμενος (γ). Οὐ μὴν ἀλλὰ καὶ

(α) Γενέσ. κ, 15.

(β) Βλ. Ἀλέξανδρος ὁ Στούρζας σελ. 50–51 τοῦ ἀοιδίμου ἡμῶν Πατρός, ὅστις οὐ μικρὸν εἰς τοῦτο συνετέλεσε δι' ὧν κατὰ προτροπὴν τοῦ λαμπροῦ καὶ ἀξιαγάστου Πρίγκηπος Ἀλεξάνδρου Νικολαΐδου τοῦ Γαλιτσήνου ἔγραψε πρὸς πάντας τοὺς ἐν Ῥωσσίᾳ Ἕλληνας ἐμπόρους προτρεπτικῶν ἐπιστολῶν, ὧν ἡ πρὸς τὸν μακαρίτην Γεώργιον Ῥιζάρην ἐκδέδοται πρὸ τῆς ἐν Ναυπλίῳ τῷ 1841 ἐκδοθείσης Διαθήκης αὐτοῦ (σελ. λα). Τον δ' ἀριθμὸν τῶν τότε συναχθέντων ἴδε ἐν τῷ βίῳ τοῦ Α. Γαλιτσήνου τὸν ὑπὸ Στούρζα συγγραφέντα ἐν Oeuvres posthumes religieuses, hist. philos. et littéraires. pag. 158. Paris, 1859.

(γ) Βλ. Φιλήμονος Δοκίμ. ἱστορ. Τόμ. Β'. σελ. 147. Τοῦτο δὲ δεικνύει καὶ ἡ ἐφεξῆς σῳζομένη ἀπόδειξις.

« Εἰς ἔνδειξιν τοῦ ὅτι ἐλήφθησαν εἰς τὴν Κομιτατικὴν κάσσαν αἱ δέκα χιλιάδες γρόσια προσφορὰ τοῦ πανιερωτάτου ἁγίου Εἰρηνουπόλεως καὶ Βατοπαιδίου κυρίου Γρηγορίου, ἐδόθη εἰς χεῖρας τῆς πανιερότητός του τὸ παρὸν ἐνυπόγραφον. τῇ 2 Ἀπρίλ. 1823. Κωνστάντιος ἐπίσκοπος Μπουζέου, μέλος. Ἰωάννης Σχινᾶς, μέλος ».

πολλοὺς τῶν ἐν Κισνοβίῳ διατριβόντων ἀπήλλαξε δεινοῦ κινδύνου. Δύο γὰρ τῶν Ἑταιριστῶν συνομοσάντων ἵνα εἰσβάλωσιν ὡς ἐπὶ λείᾳ εἰς Μολδαυΐαν, καὶ πολλοὺς τῶν ἐκεῖ προσφύγων συνεφελκυσαμένων, προϊδὼν ὁ ἀοίδιμος Εἰρηνουπόλεως τὴν ἀπώλειαν αὐτῶν καὶ τὸν μέγαν τῶν λοιπῶν κίνδυνον, πᾶσαν κατέβαλε σπουδὴν εἰς καθησύχασιν αὐτῶν, τὸ μὲν φλεγμαῖνον τοῦ φιλεκδίκου διὰ πειστικῶν λόγων καταπραΰνας, τὴν δὲ ἔνδειαν καὶ φιλοχρηματίαν τινῶν δι' ἰδίων χρημάτων θεραπεύσας, τοὺς δ' ἀκατάσχετον τὴν πρὸς τὸν ὑπὲρ πίστεως καὶ πατρίδος ἀγῶνα ὁρμὴν ἔχοντας ἐξ ἰδίων ἐφοδιάσας καὶ εἰς τὴν περὶ τῶν ὅλων ἀγωνιζομένην Ἑλλάδ' ἀποστείλας, καὶ μὴ τὰ ὠφέλιμα τοῖς βλαβεροῖς τοῦ πάθους συνεκκόψας καὶ συνδιαφθείρας, ἀλλ' «ᾗ περ ὁ φυτάλμιος Θεὸς καὶ ἡμερίδης τῇ τῆς ἀμετρίας ἀφαιρέσει καὶ κολούσει, κατὰ Πλούταρχον, τιθασσεύσας, καὶ αὐτὸ τοῦτο χρήσιμον ποιήσας» (α). Καὶ πολλὰ τοιαῦθ' ὁ ἀοίδιμος εὐεργετήματα κατέπραξε καὶ λίαν ἐμόχθησε κατὰ τὴν εναγώνιον ἐκείνην ἐποχήν, καθ' ἣν οὐ μόνον «ηὔχετο μετὰ θερμῶν δακρύων ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν Ὀρθοδόξων καὶ τῆς δουλευούσης Ἑλλάδος, ηὔχετο ὑπὲρ τοῦ θριάμβου τῆς Ἀνατολικῆς ἐκκλησίας», ὡς ἔγραφεν ὁ περικλεὴς Ἰάκ. Ῥίζος ὁ Νερουλὸς πρὸς αὐτὸν τὸν ἀοίδιμον (β), ἀλλ' ὡς αὐτὸς

(α) Πλούταρχ. Περὶ ἠθικῆς ἀρετῆς.

(β) Καταχωρίζομεν ἐνταῦθα ὁλόκληρον τὴν πλήρη Βυζαντινῆς χάριτος ἐπιστολὴν τοῦ πολυμαθοῦς Ἰακ. Ῥίζου. «Πολυσέβαστε ἱεράρχα. Καὶ λύπην ἐν ταυτῷ καὶ εὐχαρίστησιν μ' ἐκοινοποίησεν ἡ παρὰ τοῦ κυρ. Δ. Ἰθακησίου ἐπιδοθεῖσα πληροφορία περὶ τοῦ ὅτι αἱ δύο ἐπιστολαί, τὰς ὁποίας ἐκ μακρῶν διαλειμμάτων εἶχα γράψει πρὸς ὑμᾶς, περιπεσοῦσαι εἰς χεῖρας μοχθηρὰς δὲν ἐπεδόθησαν εἰς τὴν ὑμετέραν πανιερότητα. Ἐλυπήθην, διότι ἡ

ἀπαντῶν πρὸς τὴν φιλικὴν ἐκείνου ἐπιστολὴν δικαίως ἔλεγεν, ὑπὲρ πάντας τοὺς ἐν Μολδαυΐᾳ καὶ Βασσαραβίᾳ διατρίβοντας ἐκοπίασε καὶ ὑπὲρ τὰς πεντακοσίας χιλιάδας ἀργυρίων κατηνάλωσε, καὶ πολλάκις ἐκινδύνευσε (α). Καὶ

---

παράπτωσις αὐτῶν κατέστη αἰτία τῆς ὑμετέρας πρὸς ἐμὲ σιγῆς· ἀλλ' ἀφ' ἑτέρου μέρους ἐχάρην μαθὼν ὅτι, μαθόντες τὸν ἐπιστολοκλόπον δὲν μὲ κατεψηφίσατε ὡς ἐπιλήσμονα τῆς πρὸς ἐμὲ καὶ πρὸς ὅλην τὴν οἰκογένειαν εὐμενοῦς διαθέσεως ἐκ τοῦ πνευματικοῦ μοι γεραροῦ πατρός. Εἰμὶ εὔελπις, σεβασμιώτατε ἱεράρχα, ὅτι θέλετε μὲ εὐεργετήσει μὲ πατρικὴν σας ἀπάντησιν. Ἡ προσδοκωμένη αὕτη ἀπάντησις θέλει ἀνακαλέσει εἰς τὴν μνήμην μου τὴν ἐναγώνιον ἐκείνην ἐποχὴν, καθ' ἣν ἡ ὑμετέρα πανιερότης ηὔχετο μετὰ θερμῶν δακρύων ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν Ὀρθοδόξων καὶ τῆς δουλευούσης Ἑλλάδος, ηὔχετο ὑπὲρ τοῦ θριάμβου τῆς ἀνατολικῆς ἐκκλησίας, τὴν ὁποίαν πύλαι ᾅδου μήτε κατίσχυσάν ποτε, μηδὲ θέλουν κατισχύσει εἰς αἰῶνα τὸν ἅπαντα· Γλυκεῖα μελαγχολία μὲ καταλαμβάνει, ὁσάκις ἀναπολῶ εἰς τὴν πολλαχῶς τεθλιμμένην μου φαντασίαν τὰς ἡμέρας, ὅτε μάρτυρες αὐτόπται τῆς πρὸς τοὺς πάσχοντας Ἕλληνας χριστιανικῆς συμπαθείας τοῦ μεγάλου Ῥωσσικοῦ ἔθνους, παρεμυθούμεθα ἀπὸ τὰ πραγματικὰ δείγματα τῶν πρὸς τοὺς ἀπόρους πρόσφυγας εὐεργεσιῶν τοῦ ἀειμνήστου Αὐτοκράτορος Ἀλεξάνδρου, ἐλπίζοντες ὅτι ὁ κραταιότατος βραχίων τῆς Ῥωσσικῆς Κυβερνήσεως θέλει μᾶς ὁδηγήσει εἰς γαλήνιον καὶ εὔδιον ὁρμητήριον. Καὶ δὲν ἐψεύσθημεν τῶν ἐλπίδων. Εἴπατε ἐκ μέρους μου, παρακαλῶ τὴν ὑμετέραν σεβασμιότητα, πρὸς παρόντα τὸν σεβασμ. Ἀρχιεπίσκοπον Βασσαραβίας κύριόν μου Δημήτριον, ἢ διαμηνύσατε πρὸς ἀπόντα τὰς υἱϊκάς μου προσκυνήσεις καὶ τὰς βεβαιώσεις τῶν σεβασμῶν μου, καὶ δεχθῆτε καλοκἀγάθως τὰς προσφορὰς τῆς υἱϊκῆς μου ἀφοσιώσεως καὶ τὸ βαθύτατόν μου σέβας. Ἀθήνησι, τῇ 5 Ἰουλίου. 1840».

(α) Ἰδοὺ ὁλόκληρος ἡ περὶ ἧς ὁ λόγος ἐπιστολή. « Ἐξοχώτατε Κύριε, ἀνδρῶν ἄριστε καὶ ἐμοὶ προσφιλέστατε. Ἐν Ἰασίῳ ἐνδημοῦντι ἐπεδόθη μοι παρὰ τοῦ κυρίου Δ. Ἰθακασίου τὰ περισούδαστα καὶ γλυκύτατα γράμματα της· ἂν ὁ ἥλιος ἡδὺς μετὰ τὸ νέφος, ὅπερ διαρκεῖ ἐν διαστήματι ἡμέρας, πόσον ἡδύτερα τῇ ἐμῇ

ταῦτ' ἔγραφεν οὐχὶ φορτικῶς καὶ ταπεινῶς περιαυτολο-

---

ταπεινότητι τὰ γράμματα φίλου πιστοῦ μετὰ πολυχρόνιον σιγήν; Διὸ καὶ εὐθέως ἐτράπην εἰς εὐχαριστίαν καὶ δοξολογίαν τοῦ Ὑψίστου, τοῦ διατηροῦντος τὸν ἀγαπητόν μου φίλον ὑγιαίνοντα ἐν μέσῳ τοιούτων περιστάσεων. Εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. Ὅπερ δ' ὑπὲρ πάντα τἆλλα ἐκπλήττει μέ ἐστιν ὅτι, ὁ ἀγαπητός μοι φίλος ὅπου περ ἂν ᾖ ἀμετάβλητός ἐστι καὶ ἀνεπιλήσμων τῶν παλαιῶν σχέσεων, ὅτι ἡ ἀρετὴ αὐτοῦ παντοῦ παρακολουθεῖ αὐτόν. Εὐγνώμων εἰμὶ διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν της.

Οἱ ὑπὲρ τῆς Ἑλλάδος ἀγῶνες κατ' ἐκείνην τὴν ἐποχὴν εὐφραίνουσι μὲν κοινῶς πάντας ἀναπολούμενοι· (προὐξένησαν γὰρ τὸ μέγα καλὸν, τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, οὗ ἕνεκα εὐλογητὸς ὁ Θεός)· μᾶλλον δὲ κατευφραίνουσι τοὺς ἀπολαμβάνοντας ἤδη καὶ τῶν καρπῶν αὐτῶν. Ἐμὲ δὲ (ἀλλὰ δὸς εἰπεῖν καὶ μικρὸν καυχήσασθαι ἐν ἀφροσύνῃ κατὰ τὸν Ἀπόστολον· « ἀλήθειαν γὰρ ἐρῶ» καὶ ἐγώ)· ἐμὲ δὲ, καίτοι ὑπὲρ πάντας τοὺς ἐν Μολδαυΐᾳ καὶ Βασσαραβίᾳ κοπιάσαντα καὶ ὑπὲρ τὰς πεντακοσίας χιλιάδας ἀργύρια καταναλώσαντα, καὶ δὶς μετὰ τὴν ἀναχώρησίν της ἀπὸ Βασσαραβίας διὰ τὰς ἀταξίας τῶν τότε ἐσχάτως κινδυνεύσαντα, καὶ λυποῦσι καὶ πολλάκις εἰς δάκρυα κινοῦσι μνημονευόμενοι. Ἐκτὸς γὰρ τῶν κόπων καὶ μόχθων καὶ ἁδρῶν δαπανῶν ἑπταετίαν ὅλην συνεχῶς ἔκλαιον ἰδιαιτέρως καὶ ἐδεόμην ἀδιαλείπτως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς Παναχράντου αὐτοῦ Μητρὸς ὑπὲρ τῆς ἐλευθερίας τῆς Ἑλλάδος, ἐκεῖνο ἡμέρας τε καὶ νυκτὸς λογιζόμενος ἐν τρόμῳ καὶ φόβῳ, μήπως ἀποτυχόντος τοῦ ἐγχειρήματος πανωλεθρίαν ὑποστῇ τὸ γένος κατὰ τὸν βάρβαρον θυμὸν τῶν Ὀθωμανῶν, καὶ οὓς ὀλεθρίους ἐκεῖνοι εἶχον σκοποὺς, οἱ παντὸς βαρβαρώτεροι καὶ θηριωδέστεροι, ὅταν εὐτυχῶσι.

Ταῦτα λογιζόμενος καὶ ἀναμιμνησκόμενος, χαίρω ἄλλως διὰ τὸ μέγα τοῦ Γένους ἡμῶν καλὸν, θλίβομαι ὅμως ἐν μέρει καὶ λυποῦμαι, ὅτι ἐμοῦ μόνον πάντες ἐπελάθοντο, καὶ οὐδὲ εἰ ὑπάρχω ἐν τοῖς ζῶσι μέμνηνται (ἀλλὰ ταῦτα ἐγκαλῶ αὐτοῖς μόνον πρὸς φίλον παλαιὸν καὶ εἰλικρινῆ καὶ εἰδότα τὰ κατ' ἐμέ), πλὴν σοῦ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐν πᾶσιν, οὗ ἕνεκα εὐγνωμονῶ διὰ βίου

γῶν, ἀλλά, καθάπερ ὁ Πλούταρχος ἀξιοῖ, ἀμέμπτως ἑαυτὸν

---

Ταῦτα δ' ἐπειδὴ γράφω, μὴ νομίσῃς, γλυκύτατέ μου Κύριε ὅτι ἀμοιβὰς ἐγὼ ζητῶ καὶ ἀνταποδόσεις, μὴ γένοιτο! Οὐδὲ γὰρ συμφέρουσι τό γε νῦν ἔχον ταῦτα διὰ τὰς πολιτικὰς περιστάσεις. Ἐκεῖνο δὲ πῶς ἂν διέλθοιμι ἀδακρυτεί; ὅτι τῶν ἐν τῇ Ἑλλάδι ἱερῶν μοναστηρίων, τὰ μὲν κατεστράφησαν καὶ τὰ κτήματα αὐτῶν ἡρπάγησαν πρὸς ὄφελος δῆθεν τοῦ Κοινοῦ, τὰ δὲ μείναντα ὑπεχρέωσαν εἰς φόρον διπλοῦ δεκατισμοῦ· πρὸ δὲ τούτων καὶ τὴν ἀπαραδειγμάτιστον αἰσχύνην καὶ καταφρόνησιν τοῦ ἱερατείου, ὅπερ οὐδὲ ἑβραῖοι ὑπέστησαν ἐν πάσῃ τῇ αἰχμαλωσίᾳ αὐτῶν. Τὰ δίκαια τῶν ἱερῶν καταγωγίων λέγονται ὅσια, ὡς ἀναφερόμενα τῷ Θεῷ, καὶ μεγίστην εὐγνωμοσύνην ὤφειλεν ἡ Ἑλλὰς τῷ Θεῷ καὶ τῷ ἱερατείῳ (ὅπερ διετήρησε θρησκείαν καὶ διάλεκτον μετὰ πολλῶν πόνων καὶ ἱδρώτων) εὐθὺς μετὰ τὴν ἐλευθερίαν. Ἀλλ' ὡς ἀνόσιον τὸ ἀνταπόδομα! ἐὰν ἀληθεύῃ.

Τὸ πρὸς ἐμὲ γράμματης προτίθεμαι, ἵνα μεταφράσω Ῥωσσιστὶ καὶ προσφέρω τῷ ὑψηλοπανιερωτάτῳ ἀρχιεπισκόπῳ Κισνοβίου καὶ Χοτενίου Κυρ. Δημητρίῳ καὶ ἄλλοις φίλοις εἰς ἀνάγνωσιν, στοχαζόμενος ὅτι φανήσεται τοῦτ' εὐάρεστον. Διότι ἀπὸ τοσούτων εὐεργετηθέντων ἐν ἐκείνῃ τῇ ἐποχῇ οὐδεὶς ἀνταπέδωκεν εὐχαριστείαν τινὰ καὶ εὐγνωμοσύνην ἔργῳ, ἢ γοῦν λόγῳ. Ἀλλ' ὡς πυνθάνομαι, νοσοῦσί τινες καὶ ἀγνωμοσύνην διὰ πολιτικοὺς λόγους. Ἀλλ' ἐγὼ οὐκ ἐννοῶ ποῖος λόγος δύναται πεῖσαι ψυχὴν εὐγνώμονα καὶ ταῦθ' Ἑλληνικήν, ἵνα ἀνταποδίδωσι τῷ εὐποιήσαντι ἀχαριστίαν καὶ ἀγνωμοσύνην. Αἰσχύνομαι δ' ὅταν ἀναγινώσκω ἐν ταῖς ἐφημερίσιν ὑμῶν κακεμφάτους κρίσεις καὶ κατηγορίας κατὰ Ῥωσσίας, δι' ἧς ἐλάβομεν τὴν ἐλευθερίαν ἡμῶν, ἵνα ἔχωμεν ἐφημερίδας. Χάρις τῷ Θεῷ καὶ τῇ ἐν Ἀδριανουπόλει τῶν Ῥώσσων εἰρήνῃ καὶ τοῖς λοιποῖς ἀθανάτοις μνημείοις τῆς αὐτῶν πρὸς ἡμᾶς ἀγάπης καὶ εὐεργεσίας.

Πολλὰ εἶπον καὶ ἐλάλησα· «ἐκ δὲ τῆς πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία» κατὰ τὸν εἰπόντα. Διὸ ταπεινότατα ἐξαιτοῦμαι συγγνώμην, εἴ τι παραφρονῶν ὑπὸ τοῦ πολλοῦ τῆς θλίψεως ἐλάλησα. Τὰ φίλτατά της εὔχομαι ἐκ ψυχῆς καὶ προσαγορεύω, καὶ μένω τῆς Ἐξοχότητός της πρὸς Θεὸν εὐχέτης διάπυρος».

ἐπαινῶν (α). Εἴπερ γὰρ οἱ ἐν στρατείαις καλῶς γεγηρακότες δικαίως οὐ μικρὸν συνήδονται τὰς ἀνδραγαθίας ἀλλήλοις διηγούμενοι καὶ τοὺς κινδύνους, ὧν ἀνδρείως περιεγένοντο, οἱονεὶ τὰς ἐπαξίως ἑαυτοὺς περιστεφούσας νικητηρίους δάφνας ἐκκονίζοντες, καὶ μάλισθ' ὅταν βλέπωσι τὴν ὑπὲρ ἧς ἠγωνίσαντο πολιτείαν ἀμβλυωποῦσαν πρὸς τὰ ἔνδοξα ἑαυτῶν ἔργα, περιορῶσαν τὴν ἀρετὴν καὶ στεφανοῦσαν τὴν κακίαν, καὶ ὡς ἔπος εἰπεῖν, οἷαν ὁ ὀξυγράφος καὶ φιλοσοφικὸς κάλαμος τοῦ ὀξυδερκοῦς Θεατοῦ ζωγραφεῖ (β)· λυποῦνται μὲν τότε διὰ τὴν τῶν ἀγνωμονούντων ἀπόνοιαν, οὐχ ἧττον ὅμως ἥδονται καθ' ἑαυτούς, ἅτε τὸ ἐμπιστευθὲν αὐτοῖς ἔργον καλῶς τετελειωκότες· ὁμοίως καὶ ὁ ἐν εὐεργεσίαις τοῦ ἰδίου ἔθνους ὀγδοηκοντούτης γενόμενος Γρηγόριος ἀκούων καὶ ἀναγινώσκων ἐν ἐφημερίσι καὶ βιβλιαρίοις περιβομβουμένην τὴν τοῦ ἱεροῦ κλήρου ἀγνώμονα περιφρόνησιν καὶ ἀκηδίαν, τὴν τῶν πανσέμνων μοναστηρίων ἀπροκάλυπτον καταδρομὴν καὶ κατάλυσιν (γ), δικαιότατα ἀνεμίμνησκε τῷ ἐν τοῖς πράγμασι διατελοῦντι συστρατιώτῃ τὰ τῶν μοναστηρίων καὶ τῶν ὑπηρετῶν αὐτῶν εὐεργετήματα, πρόχειρον παράδειγμα προδεικνὺς ἑαυτόν, ἐλπίζων ὅτι καὶ οὕτως ὠφελήσει πως τὸ μόνον αὐτοῦ μέλημα, τὴν προσφιλεστάτην πατρίδα. Ὁ αὐτὸς δὲ σκοπὸς καὶ ζῆλος αὐτοῦ καταδείκνυται καὶ ἐν οἷς κατωτέρω λέγει

(α) Πλούταρχ. περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως.

(β) Βλ. Μ. Σχινᾶ Θεατὴν ἀριθ. 5 σελ. 1–14 καὶ ἀριθ. 16. σελ. 3.

(γ) Βλ. Ἐφημ. Ἀθηνᾶς ἀριθ. 152, 170, 344, 531, 544, κτλ. Σωτῆρ. ἀριθ. 36, 43 τοῦ ἔτ. 1834—Εὐαγγελικ. Σάλπιγγα Περίοδ. Β. Τόμ. Α. σελ. 129, 135 κτλ. (Ἀθήνησιν 1836) καὶ Περίοδ. Γ. Τόμ. Α. σελ. 175, 365, 371—384. (Ἀθήνησ. 1838).

δυσαναςχετῶν διὰ τὴν τῶν ἐφημερίδων ἀκρασίαν καὶ ἀκολασίαν, αἵτινες παραπειθόμεναι ἢ παραγνωρίζουσαι τὸ τοῦ ἰδίου ἔθνους ἀληθὲς συμφέρον, πειρῶνται ἵνα τῆς τε χαρακτηριζούσης τοὺς Ἕλληνας εὐγνωμοσύνης πρὸς τοὺς εὐεργέτας ἀπογυμνώσωσιν αὐτούς, καὶ τῆς ἰσχυρᾶς προστασίας καὶ θεοφιλοῦς ἀδελφικῆς συμμαχίας κατὰ τῶν ἐπιβουλευόντων τῇ Ἐκκλησίᾳ, καὶ πάσῃ μηχανῇ καταστρατευομένων αὐτῆς· οἱ πρὸς τοῖς ἄλλοις, ἅπερ ἀπὸ πολλοῦ ἤδη κατασπείρουσι ζιζάνια, κατασπεύδοντες τὴν ἐκπολέμωσιν τῶν ὁμοδόξων καὶ διὰ τοῦ μακροῦ χρόνου, τῶν αὐτῶν θρησκευτικῶν δογμάτων, ἠθῶν καὶ ἐθίμων, τῆς τε ἄλλης κοινωνίας καὶ τῆς δι' ἐπιγαμιῶν εἰς ἓν κρᾶμα συνηνωμένων καὶ ἀδελφικῶς κατὰ τῶν ἀσεβῶν συνησπισμένων λαῶν, ἐπενόησαν τὸ κακουργότατον τῶν ἐπινοημάτων, ἃς αὐτοὶ δολιώτατα πλάττουσιν ἐπιβουλὰς τῶν ἐθνοτήτων (α).

---

(α) Τὸ τῆς μισαλλοδοξίας παγκάκιςον σύςημα οὐ μόνον πρὸς τοὺς μετὰ τὴν πολιτικὴν πανωλεθρίαν τοῦ Βυζαντινοῦ Κράτους (ἣν λίαν ἐπιχαιρεκάκως καὶ ἀσυμπαθῶς προσέβλεψε (Βλ. Φραντσῆ Χρονικ. Δ. α. σελ. 69), ἵνα μὴ εἴπωμεν ὅτι καὶ ἐχειροκρότησε) καταφεύγοντας εἰς τὴν Δύσιν λογίους Ἕλληνας δυσμενῶς διέκειτο, (βλ. Hodij de Graecis illustrib. Ling. Graec. Literarunque humanior. instaurator. p. 31, 58, 63, 150. Londin. 1742) καί τοι μετὰ σπουδῆς ἀγωνιζομένους εἰς τὴν μεταλαμπάδευσιν τοῦ ἱεροῦ πυρὸς τῆς προγονικῆς σοφίας ἐν χώρᾳ μόλις ἀνακυπτούσῃ τοῦ παχυλοῦ τῆς ἀμαθείας σκότους· ἀλλὰ καὶ πρός τε τοὺς ἐκεῖ ἐμπορίας χάριν μεταβαίνοντας ἀπανθρώπως προσφέρετο (βλ. Ἀπόκρισιν ὀρθοδόξου περὶ τῆς τῶν Κατολ. δυναςείας σελ. 8-9. —Voyage de Dimo et Nicolo Stephanopoli en Grèce T. 1. p. 58), καὶ τοὺς ἐν τῇ αἰχμαλώτῳ Ἑλλάδι διάγοντας οὐκ ἐπαύσατο ψυχοφθόροις παγίσι καὶ ἐπιβουλαῖς παντοίαις καταβλάπτον ἄχρι καὶ νῦν, ὅτε καὶ δεινότερον εἰσώρμησεν. Αἱ γὰρ ὑπὸ τούτου συστᾶσαι δυσώνυμοι Προπαγάνδαι, αἵτε Παπικαὶ καὶ αἱ τῶν Διαμαρτυρο-

Πρὸς ταῦτα τοίνυν τὰ τῶν ἀλλοδόξων δολιεύματα μετὰ πολλῶν ἄλλων γενναίων τῆς ἐκκλησίας στρατιωτῶν ἀνενδότως ἀγωνιζομένων ἀπεμάχετο κατὰ τὸ μέτρον τῆς ἐν

---

μένων, τ'ἄλλα μὲν ἀλλήλαις ἐναντιώταται, κατὰ δὲ τῆς 'Ορθοδοξίας τ'αὐτὸ πνέουσαι, ὥσπερ ἐν ἀρχῇ τῆς μυριοφόνου διχοστασίας αὐτῶν τὰ πάνδεινα κατ' αὐτῆς ἐτεκτήναντο (βλ. Μελετ. Ἐκκλησ. Ἱστορ. Τόμ. γ. σελ. 446 κ. ἑξ. καὶ τοῦ γλαφυροῦ νομοδιδασκάλου Μ. 'Ρενιέρη «Κύριλλος Λούκαρις» Ἀθήνησι, 1859, ἔνθα οὐκ οἶδ' ὅπως ἀναμφισβήτητον δέχεται τὴν γνησιότητα τῆς τῷ Λουκάρει ἀποδιδομένης ὁμολογίας τῆς πίστεως σελ. 75), οὕτω καὶ νῦν ἀνακυκῶσιν ἐμφυλίους στάσεις καὶ χαλεποὺς πολέμους ἀδελφῶν πρὸς ἀδελφοὺς καὶ παρασκευάζουσιν ἀνταρσίαν φιλοστόργων τέκνων κατὰ τῆς Μητρὸς τῶν ἐκκλησιῶν, ὅπως τὰ τίμια μέλη τοῦ ἑνὸς καὶ ἀρτίου σώματος, (*οὗ κεφαλὴ ὁ Χριστός, ἐν ᾧ οὐκ ἔστιν Ἰουδαῖος οὐδὲ Ἕλλην, ἀλλὰ πάντες εἷς ἐσμὲν ἐν Κυρίῳ*) καταμεριζόμενα εἰς μικρὰς καὶ ἀδυνάτους αὐτοκεφάλους ἐκκλησίας, ἀπολέσωσι τὸ νοητὸν κέντρον καὶ τὸν στεῤῥότατον σύνδεσμον τῆς ἐν Χριστῷ ἀγάπης, καὶ γένωνται ἕρμαιον εὐάλωτον καὶ εὐχείρωτον τοῖς διώκουσι τὴν πατροπαράδοτον εὐσέβειαν. Προβαλλόμεναι δὲ δολιώτατα τὰ τῆς ἐθνικῆς φιλοτιμίας δελεάσματα σκανδαλίζουσι τὰς ψυχὰς τῶν εὐαπατήτων ἀδελφῶν, καὶ πᾶσαν μηχανὴν μετέρχονται πρὸς κατόρθωσιν τοῦ σχίσματος. Καὶ δὴ τοὺς μὲν γενναίους Βουλγάρους, καθ' ὧν ἀπὸ τῶν χρόνων τοῦ ἁγιωτάτου Φωτίου δεινὸν ἀνέλαβεν ἡ παπικὴ ἀκορεσία πόλεμον, σπουδάζουσιν ἵνα γυμνώσωσι τῆς κηδεμονίας τῆς ἐν Κωνσταντινουπόλει ὀρθοδόξου ἱεραρχίας, λόγῳ μὲν ὡς τῇ ἐθνικῇ αὐτῶν φιλοτιμίᾳ πολεμίας, πράγματι δ' ὡς φραγμοῦ ἀνυπερπηδήτου τῇ λυκώδει αὐτῶν προσηλυτοθηρίᾳ, ἐφ' ᾗ καὶ σχολεῖα ἐκεῖ συνέστησαν, καὶ μεγαλοπρεπεῖς ἐκκλησίας, καὶ νέους εἰς 'Ρώμην πρὸς ἐκπαίδευσιν δῆθεν ἀπέστειλαν, καὶ βιβλία κακόδοξα βουλγαριστὶ ἐξέδοσαν, καὶ ἑταιρεία τῶν Βουλγαροφίλων ἢ μᾶλλον Βουλγαροθηρῶν πολλαχοῦ διέσπαρται. Τοὺς δὲ Ἕλληνας ἀποπειρῶνται ἀποσπάσαι τῆς ἀδελφικῆς κοινωνίας τῆς πρὸς τὴν ὁμόδοξον Ῥωσσίαν, τὴν κραταιὰν καὶ θερμὴν πρόμαχον τῆς ὀρθοδοξίας διὰ μαρτυρικοῦ αἵματος ἀναδεδειγμένην, ὡς τάχα κατακτήσεις ἐν τῇ Ἀνατολῇ ἐπὶ προσχήματι εὐσεβείας με-

αὐτῷ χάριτος καὶ τὴν περιουσίαν τοῦ ἐνθέρμου ζήλου καὶ ὁ ἀοίδιμος Γρηγόριος, καὶ διδάσκων πατρικῶς, καὶ γράφων ἐμβριθῶς. Οὕτω καὶ κατὰ τὸ 1842 γράφων πρὸς τὸν καλὸν Ἰθακήσιον παρεμυθεῖτο καὶ ἐνεθάῤῥυνεν αὐτὸν, συνάμα καὶ τὴν προσοχὴν αὐτοῦ διεγείρων πρὸς τὰ τότε πολλαχοῦ τῆς Ἀνατολῆς παραφυόμενα σκάνδαλα, ἤ, ὡς ἔλεγεν ὁ ἀοίδιμος ἡμῶν Πατὴρ «τὴν κακοήθη ψευδοπαιδείαν καὶ ἀγυρτικὴν σοφιστείαν» (α). «Αἲ αἲ, ἔλεγε, τῶν κακῶν! καὶ αἰάζειν πολλάκις καλόν. Ἡ λουθηροκαλβινικὴ αἵρεσις κραταιοῦται, καὶ ἡ φαινομένη τῶν πραγμάτων ἡσυχία

---

ταλλευομένην καὶ τὸν Ἑλληνισμὸν ἐπιβουλευομένην!! Ἀλλὰ καὶ αὐτῆς τῆς φιλαδέλφου Ῥωσσίας τὸν ζῆλον καταψυχρᾶναι καταμηχανῶνται, τὰς ἀνοήτων τινῶν, ἀβασανίστως τὰ τῶν ἐπιβούλων ἀποδεχομένων, φωνασκίας καὶ τερθρείας εἰς μαρτύρια τῆς τῶν Ἑλλήνων μισαδελφίας καὶ ἀχαριστίας μεταχαλκεύοντες οἱ ἀλάστορες! (βλ. τὴν ἀξιόλογον καὶ πλήρη φιλελληνισμοῦ διατριβὴν, τὴν ἐπιγραφομένην «Ἡ κατὰ τὴν Ἀνατολὴν Δύσις, ἤτοι ἱςορικοκριτικὴ θεωρία τῶν ἐν τῇ Ἀνατολῇ Δυτικῶν ἱεραποστόλων· ἐκ τοῦ Ῥωσσικοῦ». Ἐν Ἀθήναις, 1860.) Ἀλλὰ τὸ τῶν ὀρθοδόξων πλήρωμα ὀφείλει κοινῇ συνεύχεσθαι καὶ συνεργεῖν εἰς κατάλυσιν τῶν περιστηθεισῶν αὐτῷ δεινῶν ἑλεπόλεων, καὶ πρὸς ὀρθοφροσύνην τῶν ἀποπεπλανημένων. «Εἰ γὰρ καί τινες ἔτι τῇ πλάνῃ εἰσὶ προκατειλημμένοι, ἀλλ' ὅμως ὁμογενεῖς τυγχάνουσι, κα προσήκει πολλὴν αὐτῶν ποιεῖσθαι τὴν πρόνοιαν, καὶ μηδέποτε ναρκᾷν, ἀλλὰ μετὰ πολλῆς τῆς ἐπιμελείας τὰ παρ' ἑαυτῶν ἐπιδείκνυσθαι, καὶ κατάλληλον αὐτοῖς ἰατρείαν παρέχειν, ἵνα ὀψὲ γοῦν ποτε πρὸς τὴν ἀληθῆ ὑγείαν ἐπανέλθωσι». (Χρυσόστ. εἰς Γενέσ. Ὁμιλ. δ. σελ. 18).

(α) Βλ. τὴν ἐν Εὐαγγελ. Σάλπιγγι ἀνώνυμον προσφώνησιν Περὶ τοῦ, τίς ὁ σκοπὸς τῆς Σάλπιγγος. Τόμ. Β. σελ. 129—135. Ἴδε καὶ τὴν περὶ ταύτης ἐμβριθῆ κρίσιν τοῦ σοφοῦ Μ. Σχινᾶ ἐν Θεατοῦ ἀριθμ. 19. σελ. 3, ἔνθα καὶ τὴν τοῦ συγγραφέως χεῖρα εὐφυῶς ὑπαινίσσεται.

ὑπάρχει ἀπατηλή. Αἱ φθοροποιαὶ ἐπιβουλαὶ τοῦ Θεοφίλου Καΐρου δάκνουσιν ὡς οἱ ὄφεις, καὶ αὐξάνουσι τὴν αἵρεσιν. Ἀλλ' ἐλπίζω εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἵνα μὴ ἐγκαταλίπῃ τὴν ἀμώμητον αὐτοῦ νύμφην, τὴν ὀρθόδοξον Ἐκκλησίαν, ἀβοήθητον. Καὶ διὰ νὰ μεταχειρισθῶ τὰς ἰδίας λέξεις τοῦ πανσόφου ἁγίου Οἰκονόμου «αὕτη (ἡ ἐκκλησία) πολεμουμένη νικᾷ· ἐπιβουλευομένη περιγίνεται· ὑβριζομένη λαμπροτέρα καθίσταται· δέχεται τραύματα, καὶ οὐ καταπίπτει· κλυδωνίζεται, ἀλλ' οὐ καταποντίζεται· παλαίει καὶ πυκτεύει, ἀλλ' οὐχ ἡττᾶται», πόρισμα ἀληθέστατον ἐκ τῶν ἁγίων Γραφῶν καὶ ἐκ τῶν κατὰ καιροὺς φρικτῶν κατ' αὐτῆς διωγμῶν».

§. η. Ἔτι δὲ μετὰ τὰς κατὰ τὴν ἔναρξιν τοῦ Ἑλληνικοῦ ἀγῶνος ἐν Βλαχίᾳ συμβάσας ἀνωμαλίας, τινὲς τῶν Δακῶν, οἱ μὲν ἐξ ὑποβολῆς ἀλλοδόξων (α) ἐξαπτόμενοι κατὰ τοῦ Γραικικοῦ κλήρου, οἱ δὲ τινες καὶ ἀγνωμοσύνην καὶ πλεονεξίαν νοσοῦντες, αὐτοδεσπότως ἥρπαζον τὰ ἐτήσια εἰσοδήματα τῶν κατ' ἐκείνας τὰς χώρας ἱερῶν μοναστηρίων τοῦ τε ἁγίου Ὄρους καὶ τοῦ Σινᾶ καὶ τοῦ παναγίου Τάφου, καὶ εἰς πολλὴν στενοχωρίαν περιέστησαν τὰ ἱερὰ ταῦτα σκηνώματα (β). Ἀλλ' ὅτε ὁ κραταιότατος αὐτοκρά-

---

(α) Τινὰς τῶν ἐν τοῖς Βλάχοις παλαιοτέρων μηχανουργιῶν τῶν παντόλμων παπικῶν προσυλητιστῶν βλέπε ἐν τῇ τοῦ ἀειμνήστου Νικηφόρ. Θεοτόκη ἀνωνύμῳ «Ἀποκρίσει ὀρθοδόξου τινὸς πρός τινα ἀδελφὸν ὀρθόδ. περὶ τῆς τῶν Κατολίκων δυναστείας» κτλ. σελ. 15. Χάλλῃ, 1775.

(β) Βλ. τὴν τοῦ εὐφυοῦς καὶ ζηλωτοῦ τῶν τοῦ Παναγίου Τάφου συμφερόντων Γ. Κωνσταντινίδου Διατριβὴν περὶ τῶν ἀληθῶν αἰτίων τῆς κορυφώσεως τῶν χρεῶν τοῦ Κοινοῦ τοῦ Παν. Τάφου σελ. 5—6. Μόσχᾳ, 1837.

τωρ Νικόλαος ὑπέγραψε τὸ περὶ εἰρηνεύσεως τῆς Ἑλλάδος πρωτόκολλον (τῇ 4 Ἀπριλ. 1826), ἡ Ὀθωμανικὴ δυναστεία ἐξ ἀνάγκης ἐξῃτήσατο ἵνα αἱ ὑφιστάμεναι δυσχέρειαι, περὶ ὧν ἐν Κωνσταντινουπόλει ἐπὶ πενταετίαν (ἀπὸ τοῦ 1816 —1821) εἰς μάτην διαπραγματεύσεις ἐγένοντο, ἐξομαλυνθῶσι. Καὶ δὴ ἀποστέλλονται πληρεξούσιοι Ὀθωμανοὶ εἰς Ἀκκερμάνιον (α) πρὸς καταρτισμὸν συνθήκης, ἥτις καὶ ἐγένετο (τῇ 6 Ὀκτωβρ. 1826). Τότε λοιπὸν καὶ ὁ ἀοίδιμος Γρηγόριος ἠγωνίσατο καλλίνικον ἀγῶνα ὑπὲρ τῶν καταπατουμένων δικαιωμάτων τῶν εὐαγῶν μοναστηρίων καὶ τῆς κινδυνευούσης σωτηρίου τῶν ἀδελφῶν ὁμονοίας καὶ συμπνοίας. Ἀποσταλεὶς γὰρ κοινῇ τῶν ἐν Μολδαυΐᾳ Ἑλλήνων ἀρχιμανδριτῶν ψήφῳ καὶ μετὰ πληρεξουσίων γραμμάτων τοῦ τε ἁγίου Σιναίου, τοῦ ἐν μακαρίᾳ τῇ λήξει, φημί, σοφωτάτου Κωνσταντίου, καὶ τοῦ πολυάθλου πατριάρχου τῶν Ἱεροσολύμων Πολυκάρπου πρὸς τὸ ἐν Ἀκκερμανίῳ συνέδριον, παρέστησεν αὐτῷ διὰ λόγων ἰσχυρῶν τὰ δίκαια τῶν ἱερῶν σκηνωμάτων ἐπὶ τῶν κατ' ἐκείνας τὰς χώρας κτημάτων, ἅπερ ἄνδρες ἱερόσυλοι δι' ἃς ἔφθημεν εἰπόντες αἰτίας ἠβούλοντο ἁρπάσαι, καὶ οὕτω τάς τε τῶν ἀφιερωσάντων αὐτὰ ἰδίων προπατόρων εὐσεβεῖς διαθήκας ἀνοσίως ἀκυρῶσαι καὶ καταπατῆσαι, καὶ ἄλλας οὐ μικρὰς

---

(α) Τὸ Ἀκκερμάνιον, λέξις τουρκικὴ σημαίνουσα πόλιν λευκὴν ὅπου τὸ πάλαι ὁ Τύρας (βλ. Γεωγρ. Πτολεμ.), ὅστις ὑπὸ τῶν Βυζαντινῶν ἐλέγετο Ἄσπρον (Κ. Πορφυρογέν.)· ὅθεν ὑπὸ τῶν Σλάβων ὠνομάζετο Bialogrod, καὶ παρὰ τῶν Δακῶν νῦν Tchitate alba. Ὑπὸ δὲ τῶν Ῥωμαίων ἐκαλεῖτο Alba-Julia. βλ. Cantemir Hist. de l'Emprie Ottoman T. 2. p. 128. 369. Malte-Brun. Précis de la Géographie universelle. T. 6. p. 22. Paris, 1837.

ζημίας τῷ χριστεπωνύμῳ πληρώματι παρασχεῖν (α). Καὶ τὸ συνέδριον πεισθὲν τοῖς γενναίοις λόγοις αὐτοῦ καὶ τῷ

(α) Αἱ ἐκ τῶν ἐν Μολδοβλαχίᾳ εὐσεβῶν ἀφιερωμάτων ὠφέλειαι τοῦ περιουσίου τῆς ὀρθοδοξίας πληρώματος, αἵτε παλαιότεραι καὶ αἱ πρόσφατοι, πασίδηλοι τυγχάνουσι, μαρτυροῦσαι λαμπρῶς τὸν θεοφιλῆ τῶν ἀφιερωτῶν σκοπὸν καὶ τὴν ἐπιτυχίαν αὐτοῦ. Καὶ Ἁγιορεῖται, καὶ Ἁγιοταφῖται, καὶ Σιναΐται, τὰ πλεῖστα τῶν εἰσοδημάτων τῶν ἀφιερωμάτων τούτων καθωσίουν εἰς τὸν φωτισμὸν τοῦ ὀρθοδόξου ἡμῶν γένους. Διὰ δὲ τῶν εὐαγγελικῶν ἀρετῶν τῶν ἐκεῖ ἐκ διαφόρων τοῦ ὑψηλοτέρου καὶ ἀγγελικοῦ βίου ἀγωνιστηρίων πεμπομένων ἱεροπρεπῶν ἀνδρῶν, ᾠκοδομοῦντο οὐ μικρὸν τὴν ἠθικὴν καὶ πνευματικὴν οἰκοδομὴν οἱ ἐγχώριοι. Ἐλλόγιμοι διδάσκαλοι Ἕλληνες ἐδίδασκον τούς τε Μολδοβλάχους καὶ τοὺς ἐκεῖ Ἑλληνόπαιδας, λαμβάνοντες τὰ σιτηρέσια ἐκ τῶν εὐαγῶν ἐκείνων μοναστηρίων. Καὶ διὰ ταύτης τῆς πνευματικῆς διδασκαλίας περιεφρουροῦντο οἱ κατ' ἐκείνας τὰς χώρας κάτοικοι ἀπὸ τῆς ἐκ τῶν ἀλλοδόξων γειτόνων εἰσκυλιομένης ἐντρεχείας τοῦ προσηλυτισμοῦ. Ἐκ τῶν μοναστηριακῶν τυπογραφείων τῶν ἐν Βουκορεστίοις καὶ Ἰασίῳ ἀπελύθησαν οἱ τρεῖς ὀγκωδέστατοι τόμοι (τῆς Ἀγάπης, τῆς Χαρᾶς καὶ τῆς Καταλλαγῆς), οἱ τὴν δυτικὴν κακοφροσύνην στηλιτεύοντες, οὓς ἐξέδωκεν ὁ ἀοίδιμος Ἱεροσολύμων Δοσίθεος· ὡς καὶ μετὰ θάνατον αὐτοῦ ἡ *Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων*, ἐν ᾗ τὴν παπικὴν ματαιοφροσύνην καὶ ὑπέραντλον φιλαρχίαν γενναίως ἀποῤῥαπίζει· ἡ *Ὀρθόδοξος διδασκαλία* Μελετίου τοῦ Πηγᾶ, τοῦ σοφωτάτου Πάπα καὶ Πατριάρχου Ἀλεξανδρείας· τὸ σιβαρὸν Μαξίμου τοῦ ἱερομονάχου *Ἐγχειρίδιον κατὰ τοῦ σχίσματος τῶν Παπιστῶν*· ἡ Μελετίου τοῦ Συρίγου Ἀντίῤῥησις κατὰ τῶν Κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως (τῶν περιεχομένων ἐν τῇ ἐπ' ὀνόματι αὐτοῦ δημοσιευθείσῃ Λουθηροκαλβινικῇ Ὁμολογίᾳ)· ἡ περίφημος τοῦ Ἱεροσολύμων Νεκταρίου Ἀντίῤῥησις πρὸς τὰς αὐτῷ προσκομισθείσας θέσεις παρὰ τῶν ἐν Ἱεροσολύμοις φρατόρων περὶ τῆς ἀρχῆς τοῦ Παπα· τὸ *κατὰ Αἱρέσεων* Συμεὼν τοῦ Θεσσαλονίκης καὶ ἄλλα πολλὰ ψυχωφελῆ συγγράμματα. Ἀξίως δὲ πρὸς τούτους τοὺς τοῖς ἐπιβούλοις καὶ τοῖς πάθεσιν αὐτῶν δουλεύοντας κατὰ τῆς ἰδίας Μητρός, μᾶλλον δὲ καθ' ἑαυτῶν,

ΒΙΒΛΙΟΘΗ Μ. ΓΑ

συνηγοροῦντι δικαίῳ, ταχεῖαν ὑπέσχετο τὴν τῶν ἠδικημένων ἐπανόρθωσιν· καὶ μετ' οὐ πολὺ ἡ Ὀθωμανικὴ δυναστεία ἐξέδοτο διάταγμα, δι' οὗ τὰ δίκαια τοῖς ἱεροῖς μοναστηρίοις ἐπισήμως ἀπεδίδοντο.

§. θ. Μετὰ δὲ δωδεκαέτη διατριβὴν ἐν Κισνοβίῳ ἐπανέρ-

---

ἠγωνίσαντο καὶ ἀγωνίζονται καὶ οἱ καθ' ἡμᾶς ἡγούμενοι τῶν μοναστηρίων ἐκείνων· καὶ ἵνα παραλίπω τὸν πρὸ μικροῦ εἰς τὰς οὐρανίους μονὰς μεταβάντα Τραϊανουπόλεως Ἰάκωβον, τὸν τὴν ἡγουμενίαν τοῦ Βατοπαιδινοῦ τῆς 'Ρακετόσσης μοναστηρίου καλῶς διευθύναντα, (ὃς πρὸς ἄλλοις ἀγαθοῖς τήν τε ἐκκλησίαν τοῦ ἰδίου μοναστηρίου ἀνεκαίνισε καὶ περικαλλῶς ἐκόσμησε, καὶ δι' ἄλλων παραρτημάτων καὶ τοῦ ἐν αὐτῷ κτήματος Σινδρέστι ἐπροίκισεν, αὐτὸς μετὰ πολλῶν πόνων καὶ κινδύνων ὑπὲρ τῶν δικαιωμάτων αὐτοῦ ἀγωνισάμενος πρὸς τοὺς τότε ἰσχυροὺς καὶ ἅρπαγας, ἔντε τῷ Βατοπαιδίῳ πολυδάπανον ἀνήγειρε νοσοκομεῖον (βλ. ὄπισθεν σελ. 21), καὶ εἰς τὰ ἐν Ἑλλάδι ἐκπαιδευτήρια ὑπὲρ τὰς δύο χιλιάδας χρυσῶν νομισμάτων προσήνεγκεν, ἀνθ' ὧν καὶ σταυροφόρος τοῦ τάγματος τοῦ Σωτῆρος ἀνεδείχθη ὑπὸ τοῦ Μεγαλειοτάτου Βασιλέως Ὄθωνος, καὶ εἰς ἔκδοσιν βιβλίων ψυχωφελῶν συνέτρεχε, καὶ εἰς τὸ ἐν Ἰασίῳ τῶν Ἐκθέτων φιλανθρωπικὸν καθίδρυμα μεγάλα συνεισήνεγκε·) μνημονεύω μόνον τόν τε ἀληθῶς ἄνθρωπον τοῦ Θεοῦ, τὸν σεβασμιώτατον Ἀρχιμανδρίτην Σωφρόνιον τὸν Μακρῆν, οὗ καὶ ἀλλαχοῦ ἐμνήσθην (βλ. Προλεγόμενα εἰς Φωτίου 'Αμφιλόχια σελ. νβ), καὶ τὸν τούτῳ ἐφάμιλλον ἀρχιμανδρίτην καὶ ἔξαρχον τοῦ Παναγίου Τάφου, τὸν ἐξ Ἄνδρου Ἀθανάσιον τὸν Καμπάνην, (ὅστις πλὴν ἄλλων ἀγαθοεργιῶν, καὶ ἐν Μόσχᾳ πενταετίαν διατελέσας, ἐνάμιλλος ἐγένετο τοῦ σπουδαίου, συνετοῦ καὶ σεμνοβίου Ἀρχιεπισκόπου Θαβωρίου ἀγ. Ἱεροθέου (τοῦ νῦν ἐπαξίως τὸν Ἀντιοχείας κοσμοῦντος πατριαρχικὸν θρόνον) διὰ τῶν βοηθημάτων, ἃ τότε φιλοθέῳ ἐπινεύσει τοῦ ἀοιδίμου Αὐτοκράτορος Νικολάου τοῦ Α'. συνήχθησαν ἀπὸ τῶν ἐν Ῥωσσίᾳ εὐσεβεστάτων ὀρθοδόξων πρὸς διόρθωσιν τῶν τοῦ παναγίου Τάφου πραγμάτων), τὸν ἐν Βασσαραβίᾳ κλεινὸν τῆς ἐν Χάλκῃ καλλιγόνου Θεολογικῆς σχολῆς γόνον, Δωρόθεον τὸν Εὐελπίδην, καὶ τὸν ἱεροπρεπέστατον τῆς 'Ρακετόσσης ἡγούμενον, τὸν πρᾶον 'Αρχιμανδρίτην Ἰάκωβον.

χεται πάλιν ὁ Γρηγόριος εἰς Ἰάσιον (τῷ 1833), ἔνθα μετὰ κόπων πολλῶν καὶ δαπάνης οὐ σμικρᾶς καὶ κινδύνων οὐ μόνον τὰς ἐκ τῆς ἀπουσίας αὐτοῦ καὶ τῆς τῶν καιρῶν ἐκείνων κακίας ἀναφυείσας δυσχερείας εὖ μάλα κατελέανεν, ἀλλὰ καὶ τὰ ἐπιβουλευόμενα μοναστηριακὰ κτήματα τοῦ Βατοπαιδίου ἐβεβαίωσεν αὐτῷ δι᾽ ἐπισήμου ὁροθεσίας, ἐφ᾽ ᾗ ἀκαμάτως ἔτρεχεν ὁ ἀοίδιμος καὶ πεζῇ καὶ ἔφιππος. Ἔτι δὲ καὶ νέα προσεκτήσατο κτήματα πρὸς ἀξιοπρεπῆ καὶ ψυχωφελῆ συντήρησιν τῶν μοναστηρίων, καὶ ἰδίᾳ τὴν μὲν Μολοβάταν διὰ τὴν Κόλιαν, τὸ δὲ Τροφαούτσιον διὰ τὸ Περπόϊον, ἐπαρκῶν ἐν πᾶσι τούτοις καὶ ἐν αὐταῖς ταῖς καταδιώξεσι καὶ δειναῖς περιπετείαις τῇ ἐξ αὐτῶν δυσχερῶς ἐχούσῃ σεβασμίᾳ τῶν Βατοπαιδινῶν ἀδελφότητι. Ἀλλὰ καὶ φύσει τὴν εὐπρέπειαν τῶν τοῦ Θεοῦ οἴκων ἀγαπῶν, καὶ τὴν ἐκ τούτων προκύπτουσαν σωτήριον γαλήνην καὶ πολλὴν εὐφροσύνην (α), καὶ τὴν λοιπὴν μεγάλην τῶν εἰς αὐτοὺς προσερχομένων ὠφέλειαν συνειδώς, ἀδιαλείπτως ἠγωνίζετο εἰς ἀνακαίνισιν καὶ ἐπισκευὴν καὶ λάμπρυνσιν τῶν ἐν Μολδαυΐᾳ Βατοπαιδινῶν ἐκκλησιῶν καὶ μοναστηρίων. Καὶ τῷ μὲν 1805 ἀνήγειρεν ἐκ θεμελίων τὴν τῶν πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου, τὴν ἐν τῷ μοναστηρίῳ τοῦ Περποΐου (β), ἣν μετὰ

---

(α) «Διὰ τοῦτο ὥσπερ τινὰς λιμένας ἐν πελάγει πανταχοῦ τὰς ἐκκλησίας ὁ Θεὸς ἔπηξεν, ἵνα, καθ᾽ ὅσον ἐγχωρεῖ, φεύγων (ἴσ. γρ. *φεύγωμεν*, ἢ μᾶλλον *φεύγοντες*) τὴν τῶν βιωτικῶν φροντίδων ἅλμην καὶ ζάλην, κἀνταῦθα καταπλέοντες, ἀπολαύωμεν γαλήνης σωτηρίου καὶ πολλῆς εὐφροσύνης». Νείλου μοναχ. Ἐπιστ. Α. ρξϛ. σελ. 67.

(β) Τὸ μοναστήριον τοῦτο καθιέρωσε τοῖς Βατοπαιδινοῖς ἡ πλουσιόδωρος τοῦ εὐσεβεστάτου τῶν Στουρζῶν οἴκου μεγαλο-

ταῦτα (1838) ὑπὸ σεισμῶν καταβεβλημένην διὰ πενταέτους ἐπιμόνου ἐπιμελείας καὶ ἱδρώτων οὐκ ὀλίγων, συνεργοῦντος καὶ τοῦ ζηλωτοῦ ἀρχιμανδρίτου Διονυσίου, κατέστησε τὸ τῆς Μολδαυΐας σέμνωμα καὶ ἀριστούργημα. Τῷ δὲ 1810 ἐπεσκεύασεν ἐπιμελῶς τὴν ἐπὶ τῇ τοῦ Σωτῆρος Ἀναλήψει σεμνυνομένην ἐκκλησίαν τῆς Κόλιας, σεσαθρωμένην δεινῶς, καὶ τὴν ἐν αὐτῇ ἀνήγειρε μεγαλοπρεπῆ ἀψίδα. Καὶ μετ' οὐ πολὺ τὰ ἐν τῇ περιοχῇ αὐτῆς οἰκήματα καὶ ἐργαστήρια ἀνεκαίνισε καὶ ἐκαλλώπισε μετὰ τοῦ ἐν αὐτοῖς παρεκκλησίου τῆς ἁγίας Ζώνης. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς ὑπ' αὐτοῦ προσκτηθεῖσι δυσὶν ὑποστατικοῖς ἀνήγειρεν ἀξιολόγους ἐκκλησίας, καὶ τὰ λοιπὰ Βατοπαιδινὰ

---

δωρία, ὡς μαρτυρεῖ τὸ ἐφεξῆς ἐν τοῖς ἀρχείοις τοῦ μοναστηρίου σημείωμα. «Ἐπὶ τῆς ἡγεμονείας τοῦ εὐσεβεστάτου ἡμῶν ἡγεμόνος καὶ αὐθέντου πάσης Μολδαυΐας Μιχαὴλ Βοεβόδα Γρηγορίου Στούρζα, ἀρχιερατεύοντος τοῦ πανιερωτάτου μητροπολίτου Βενιαμίν, ὁ περικαλλὴς καὶ θεῖος οὗτος ναός, ὁ σεμνυνόμενος ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ τῶν ἁγίων καὶ πανευκλεῶν ἀποστόλων καὶ κορυφαίων Πέτρου καὶ Παύλου, ἀνηγέρθη ἐκ βάθρων καὶ ἐτελειώθη δι' ἐξόδων τῆς ἐν τῷ ἁγίῳ Ὄρει τοῦ Ἄθωνος ἱερᾶς καὶ σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τοῦ Βατοπαιδίου εἰς μνημόσυνον αἰώνιον τῶν ἀειμνήστων κτιτόρων καὶ παντὸς τοῦ γένους, τῶν εὐγενεστάτων ἀρχόντων Στουρζῶν, παρ' ὧν καὶ ἀφιερώθη τῇ ἱερᾷ τοῦ Βατοπαιδίου μονῇ τὸ μοναστήριον τοῦτο Περπόϊ. Ἡ δὲ δαπάνη αὕτη ἐγένετο διὰ πόνων καὶ ἱδρώτων πολλῶν καὶ χρημάτων ἰδιαιτέρων τοῦ πανιερωτάτου μητροπολίτου Εἰρηνουπόλεως καὶ Βατοπαιδίου κυρίου Γρηγορίου, συνεργείᾳ τε καὶ ἀγρύπνῳ ἐπιστασίᾳ εἰς τὰ τῆς οἰκοδομῆς ταύτης τοῦ πανοσιωτάτου ἀρχιμανδρίτου κυρίου Διονυσίου τοῦ Βατοπαιδινοῦ ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν καὶ ψυχικῆς σωτηρίας. Ἤρξατο τὸ κτίριον τοῦτο ἐν ἔτει 1838, καὶ ἐν διαστήματι πέντε χρόνων ἐτελειώθη καὶ ἐγκαινιάσθη ἐν ἔτει σωτηρίῳ 1843 ἐν μηνὶ Ἰουνίῳ 29. Ἐκτίσθη διὰ τοῦ ἀρχιτέκτονος καὶ τῶν σὺν αὐτῷ Ἀθανασίου καὶ Γρηγορίου, Γραικῶν ἐκ τῆς ἐπαρχίας Σισχνίου.»

μοναστήρια κάκῶς ἔχοντα, δαπάνῃ αὐτοῦ καὶ ἐπιμελείᾳ ἀνεκαινίσθησαν, τὸν προσήκοντα λαβόντα διάκοσμον. Ἐπιλείψει δέ με ὁ χρόνος διηγούμενον ὅσα παρέσχετο τοῖς ἀσχολουμένοις ἐπὶ συστάσει σχολείων καὶ ἐκδόσει κοινωφελεστάτων βιβλίων, δωρεὰν διανεμομένων τοῖς ὀρθοδόξοις (α), συγκροτήσει βιβλιοθηκῶν, ῥεῖθρα ψυχοτρόφα τοῖς εἰς αὐτὰς φοιτῶσιν ἀναβλυζουσῶν· ἔτι δὲ καὶ ὅσα προθύμως ἐχορήγει νέοις φιλομαθέσι καὶ χρηστοῖς πρὸς κτῆσιν τοῦ τῆς παιδείας ἀθανάτου χρήματος προσερχομένοις, πολλαχῶς

---

(α) Ἀναφέρομεν μόνον χάριν πλείονος πίστεως τῶν λεγομένων τὴν εἴς τε τὴν τῆς ἑαυτοῦ πατρίδος σχολὴν διὰ τοῦ τότε μὲν Ἐφέσου, εἶτα δὲ πατριαρχεύσαντος, Ἀνθίμου τοῦ Ε, γενναίαν συνδρομὴν αὐτοῦ, καὶ τὴν εἰς τὴν ἐν Χάλκῃ θεολογικὴν σχολὴν διὰ τοῦ πρῶτον αὐτὴν καθιδρύσαντος Πατριάρχου Γερμανοῦ τοῦ Δ· ἔτι δὲ καὶ τὴν εἰς ἔκδοσιν τῆς περὶ τῶν Ο. Ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς τετραβίβλου τοῦ ἀοιδίμου ἡμῶν Πατρός, πρὸς ὃν ἔγραφε (τῷ 1843) τὰ ἑξῆς « Ἀκήκοα μετὰ χαρᾶς καὶ ἀγαλλιάσεως τοὺς ἀγῶνας, τὰς πράξεις, τὰς ἱερὰς, εὐστόχους καὶ εὐεπηβόλους συμβουλάς, τὰς συνεργίας, καὶ συντόμως εἰπεῖν πάντα τὰ πρακτικά, ὅσα ἐν τῇ διατριβῇ ἑαυτῆς τῇ ἐν Κωνσταντινουπόλει εἶπέ τε καὶ διεπράξατο. Εὐλογητὸς ὁ θεός, οὗ τὸ ἅρμα μυριοπλάσιον· οὐ γὰρ ἂν, οἶμαι, ἀπᾷδον εἴη, μᾶλλον δὲ καὶ ἀληθὲς καὶ εὐπρεπές, εἰ ἅρμα θεοῦ καὶ τοὺς ἱεροὺς διδασκάλους τῆς ἐκκλησίας καλέσαιμεν (ὡς καί τινι δοκεῖ τῶν ἀρχαίων), οἷς ἐποχούμενος ὁ νοητὸς Ἥλιος φωτίζει τὴν Οἰκουμένην. Διαφυλάττοι ἄρα καὶ διέποι Κύριος ὁ Θεὸς καὶ τὸν ἡμέτερον ἱερὸν καὶ πανσέβαστον ἅγιον Οἰκονόμον ὑγιαίνοντα εἰς μακροὺς αἰῶνας, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, καὶ διατρέχοντα τοῖς χρυσέοις ἔπεσι τῆς τοῦ ἱεροῦ εὐαγγελίου διδασκαλίας τὴν ὑψήλιον. Ἀμήν!—Ἥσθην ὅτι διὰ τῶν συγγραφέντων ἤδη εἰς ἀναίρεσιν καὶ ἀνατροπὴν τῶν κακομηχάνων ἐπινοιῶν τῶν αἱρετικῶν ἀναλάμψει ἡ ἀλήθεια πάλιν, καὶ τὸ θεόπνευστον τῶν Γραφῶν ἀποδειχθήσεται λαμπρότερον. Καὶ δὴ τοιούτου προκειμένου ἀγῶνος, συντρέχομεν καὶ ἡμεῖς καὶ συναγωνιζόμεθα τὸ κατὰ δύναμιν».

συντελῶν πρὸς πᾶν ὅ,τι συνέτεινεν εἰς τὴν περὶ τοὺς λόγους σπουδὴν καὶ ἀληθῆ προαγωγὴν τῶν ἀδελφῶν, ἅτε φιλόμουσος,

Πολλοῖς πολλὰ διδούς, αἰτεύμενος οὐκ ἀνανεύων.

Οὕτω δὲ κατέδειξεν ἀκραιφνῆ καὶ αὐτὸς τὴν ὑπὲρ τῶν ἱερῶν γραμμάτων ἐθνοσωτήριον τοῦ ὑψηλοτέρου κλήρου σπουδήν, ἥτις καταφαίνεται μὲν καὶ ἐξ ἄλλων πολλῶν, μάλιστα δὲ ἐκ τῆς κατὰ τὸ ͵αφϛʹ ἐπὶ κυρώσει τοῦ ἐν Ῥωσσίᾳ Πατριαρχείου ἐξ ἀνδρῶν περικλεῶν ἐπὶ παιδείᾳ καὶ ἀρετῇ συγκροτηθείσης ἐν Κωνσταντινουπόλει Συνόδου, ἥτις καὶ ὑπεχρέωσεν εἰς τὴν τῆς παιδείας ἐνδελεχῆ συνδρομὴν πάντας τοὺς ἐπισκόπους διὰ τοῦ ἑβδόμου αὐτῆς κανόνος τοῦ λέγοντος. «Ὥρισεν ἡ ἁγία Σύνοδος ἕκαστον Ἐπίσκοπον ἐν τῇ ἑαυτοῦ παροικίᾳ φροντίδα καὶ δαπάνην τὴν δυναμένην (ἴσ. γρ. δυνατὴν) ποιεῖν, ὥστε τὰ θεῖα καὶ ἱερὰ γράμματα δύνασθαι διδάσκεσθαι· βοηθεῖν δὲ κατὰ δύναμιν τοῖς ἐθέλουσι διδάσκειν καὶ τοῖς μαθεῖν προαιρουμένοις, ἐὰν τῶν ἐπιτηδείων χρείαν ἔχωσι» (α).

§. ι. Καὶ πρὸς τὰ χείλη δὲ τοῦ τάφου πελάζων, οὐδόλως παρημέλει τῆς ἐπιβεβλημένης αὐτῷ φροντίδος. Καὶ δὴ κατὰ τὸν Ὀκτώβριον τοῦ 1855 ἔτους ἀπέρχεται εἰς Κισνόβιον ἕνεκα τῶν ἐν Βασσαραβίᾳ μοναστηριακῶν ὑποθέσεων. Ἐξησθενηκὼς ἤδη ὑπὸ τῶν πολλῶν καμάτων καὶ τοῦ γήρατος, καὶ προαισθόμενος τὴν ἀπὸ τῆς πολυμόχθου τοῦ βίου στρατείας μετάβασιν εἰς τὴν οὐράνιον καὶ ἀληθῆ τῶν πιστῶν ἀποκατάστασιν προσεγγίζουσαν, οὐκ ἐδειλίασεν ὥς τις ὀλιγόπιστος καὶ δειλὸς πρὸς τὸν θάνατον, ἀλλὰ συντονώτερον

---

(α) Βλ. τὰ πρακτικὰ τῆς Συνόδου ταύτης ἐν Τόμῳ Ἀγάπης σελ. 541–547.

εἰργάζετο πρὸς διευθέτησιν τῶν ἐφ' οἷς ἐκέκλητο ἔργων. Διὸ προσπίπτων ἐνώπιον τοῦ Θεοῦ τῶν οἰκτιρμῶν καὶ εὐχαριστῶν αὐτῷ κατὰ Παῦλον ὑπὲρ πάντων, πολὺ τὴν πρὸς ἀγαθουργίαν σπουδὴν ἐπηύξησε, διπλάσια καὶ τριπλάσια τοῖς παρ' αὐτοῦ τρεφομένοις ἐνδεέσι μετὰ δακρύων χαρᾶς καὶ λύπης τὰ σιτηρέσια χορηγῶν, καὶ ὅλος εἰς τὴν ἐν οὐρανῷ ὡς πλείστων ἀποθησαύρισιν ἀφοσιούμενος. Καὶ δὴ καλεῖται ὑπὸ τοῦ Θεοῦ τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἀπὸ τῆς προσκαίρου ταύτης ζωῆς εἰς τὴν ἀγήρω καὶ αἰώνιον. Κατὰ γὰρ τὴν πρώτην τοῦ Ἰανουαρίου τοῦ 1846 πλήττεται ὑπὸ δεινῆς καὶ θανατηφόρου ἀποπληξίας, ἥτις ἐν δυσὶν ἡμέραις κατὰ μικρὸν τὸν τοῦ σώματος τόνον παραλύσασα ἐπήνεγκεν αὐτῷ ἠρέμα τὸν θάνατον, πάντα τὰ καθ' ἑαυτὸν καλῶς διαθεμένῳ, καὶ τὰ νενομισμένα εὖ μάλα τετελειωκότι, καὶ χριστομιμήτως λέγοντι· τὸ ἔργον μου ἐτελείωσα. Οὕτω δὲ «τὸ τοῦ σώματος ἀποσεισάμενος ἄχθος, ὃ πολλὰ πρὸς φιλοσοφίαν ἐπαιδαγώγησε, καὶ διὰ τοῦτο πρὸς τὴν ἐλπιζομένην ἐμψύχωσιν αὖθις ἀναθηλήσει, τὰ ἆθλα τῶν ὑπὲρ τῆς ἀρετῆς καμάτων ληψόμενον, νῦν γυμνῇ τῇ ψυχῇ τῆς μακαριότητος ἐμφορεῖται, ἣν ἐπέγνω καλῶς καὶ λαβεῖν ἐντεῦθεν ἐσπούδασε» (α). Καὶ τῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς ἐτελέσθη μετὰ πομπῆς καὶ πα-

(α) Βλ. τὸν παρὰ τοῦ ἀξιαγάστου ἐπί τε πολιτικῇ συνέσει καὶ ἀρετῇ καὶ δὴ καὶ ζήλῳ ἐνθέρμῳ τῆς ὀρθοδόξου ἐκκλησίας φιλέλληνος Ῥώσσου Ἀβρ. Νωρόβου ἐπ' ἀγαθῷ ταύτης (ὥς φησιν ἐν τῷ στοργῆς ἀποπνέοντι προλόγῳ αὐτοῦ) πρῶτον ἐκδοθέντα ἐπιτάφιον λόγον τοῦ σοφωτάτου Γεωργίου τοῦ Σχολαρίου ἐπὶ Μάρκῳ τῷ Ἐφέσου ἐν τοῖς ἐπιγραφομένοις «Μάρκου τοῦ Ἐφεσίου καὶ Γεωργίου τοῦ Σχολαρίου ἀνέκδοτα» (σελ. 80. Παρισίοις, ͵αωνθ). περὶ ὧν προσθήσομεν ἑξῆς (σελ. 63) τὰ δέοντα.

ρατάξεως ἡ προσήκουσα κηδεία. Ἠχούντων πάντων τῶν κωδώνων τῶν ἐκκλησιῶν πενθίμως, προηγουμένου τοῦ τιμίου σταυροῦ μετὰ φανῶν πολυφώτων καὶ παρακολουθουσῶν τῶν σημαιῶν τῶν ἐκκλησιῶν, τέσσαρες διάκονοι ἐβάσταζον τὸ τῆς λάρνακος πῶμα μελανειμονοῦντες, ἕτερος δ' ἐκράτει τὴν ποιμαντορικὴν ῥάβδον, καὶ ἕτεροι δύω ἐπὶ δίσκων ἀργυρῶν ἔφερον τὴν ἱερὰν μίτραν καὶ τὸ ὠμοφόριον· ἐπὶ δύω χρυσῶν προσκεφαλαίων ἔκειντο τὰ παράσημα, ὧν τὸ μὲν ἐκράτει Ῥῶσσος ἀξιωματικός, τὸ δὲ Ἕλλην. Κατόπιν ἐβάδιζον ἐν τάξει οἱ ψάλται καὶ πάντες οἱ ἱεροδιάκονοι καὶ ἱερεῖς τῆς πόλεως. Εἶτα δ' ἐφέρετο ἡ νεκροφόρος λάρναξ ὑπὸ ὀκτὼ ἱερέων. Ὄπισθεν τοῦ λειψάνου ἐβάδιζεν ὁ ἀρχιερεὺς μεθ' ἓξ ἱεροδιακόνων, δύω ἀρχιμανδριτῶν, δεκατεσσάρων πρωτοϊερέων, λαμπρῶς πάντων ἠμφιεσμένων. Κατόπι δὲ τούτων ἤρχετο ὁ στρατοπεδάρχης μετὰ τῶν ἀξιωματικῶν καὶ ἐπισήμων ἀρχῶν, καὶ παρηκολούθει ἅπαν τὸ ἐν Κισνοβίῳ καὶ τοῖς περιχώροις διατελοῦν χριστεπώνυμον πλήρωμα, Ῥῶσσοι, Ἕλληνες, Δᾶκες καὶ ἄλλοι παντοδαποί. Ἐν τοιαύτῃ πομπῇ ἐκομίσθη τὸ λείψανον εἰς τὴν τῆς μητροπόλεως ἐκκλησίαν, καὶ ἐτέθη ἐπὶ τοῦ ἐν τῷ μέσῳ τοῦ ναοῦ κειμένου λαμπροῦ ἰκριώματος, καὶ γενομένου τοῦ τρισαγίου, ἐξεφώνησε λόγον ἐπιτάφιον ἑλληνιστὶ Ἰωάννης ὁ Νικολαΐδης. Τῇ δ' ἐπαύριον τελεσθείσης τῆς λειτουργίας καὶ ψαλείσης τῆς νεκρωσίμου ἀκολουθίας, ὁ πανιερώτατος ἀρχιεπίσκοπος Κισνοβίου καὶ Χοτενίου, ὁ σεβῳτατος Εἰρήναρχος, ἐξεφώνησε ῥωσσιστὶ λόγον ἀξιόλογον, ἐν ᾧ περιπαθῶς καὶ διὰ μακρῶν ἐξύμνησε τάς τε ἀρετὰς καὶ τὴν παιδείαν τοῦ ἀοιδίμου. Ἐν τούτῳ δὲ πρὸς τοῖς ἄλλοις ἐπεφώνει καὶ τὰ ἑξῆς. «Τίνι ἄγνωστος ὁ ἔνθερμος ζῆλος τοῦ θείου

τούτου ἱεράρχου ὑπὲρ τῆς ἐλευθερίας τῆς Ἑλλάδος, τῆς γνησίας αὐτοῦ πατρίδος; Τί οὐκ ἐθυσίασεν ὑπὲρ αὐτῆς; Ὁποία χαρὰ καὶ ἀγαλλίασις περιέχεε τὸ πρόσωπον αὐτοῦ, μανθάνοντος ὅτι ὁ Θεὸς ἐβοήθει κατὰ τῶν ἀπίστων τοῖς ὁμογενέσιν αὐτοῦ, περιζωννύων αὐτοὺς τῇ θείᾳ αὐτοῦ δυνάμει, διδάσκων τὰς χεῖρας αὐτῶν εἰς μάχην, καταρτίζων τοὺς πόδας αὐτῶν ὡς ἐλάφου, διδοὺς αὐτοῖς τὰ νῶτα τῶν ἐχθρῶν αὐτῶν, καὶ τοὺς μισοῦντας αὐτοὺς ἐξολοθρεύων! Ταῦτα δὲ πάντα τεκμήρια προφανῆ τῆς τοῦ θείου ἱεράρχου Γρηγορίου νεαζούσης πρὸς τὸν πλησίον ἀγάπης. Διὰ παντὸς ἠγάπα τὸν πλησίον. Ἠγάπησεν, ἐτίμησεν, ἐδόξασε μάλιστα καὶ τὸ Μοναστήριον αὐτοῦ». Ἐτάφη δὲ ἐν αὐτῷ τῷ ναῷ τῆς μητροπόλεως παρὰ τῷ φίλῳ αὐτοῦ, τῷ ἀρχιεπισκόπῳ Δημητρίῳ (α). Ἐπὶ δὲ τοῦ τάφου ἐχαράχθησαν τὰ ἐφεξῆς ἐπιγράμματα, ποιηθέντα ὑπὸ τοῦ ἀοιδίμου ἡμῶν Πατρός.

Γρηγόριος Μητροπολίτης Εἰρηνουπόλεως καὶ Βατοπαιδίου.
Ἐγεννήθη ἐν Ἐφέσῳ, ἔτει ͵αψξα.
Ἐξεδήμησε πρὸς Κύριον ἐν Κισνοβίῳ τῆς Βασσαραβίας
τῷ ͵αωμς. Μηνὶ Ἰαννουαρίῳ γ. Ζήσας ἔτη πέ.
Αἰωνία ἡ μνήμη.

(α) Ὁ ἀοίδιμος Εἰρηνουπόλεως ὡς τεκμήριον τῆς ἀνυποκρίτου φιλίας καὶ εὐγνώμονος διαθέσεως διὰ τὰς ποιμαντορικὰς ἀρετὰς καὶ τὰς πρὸς τοὺς Ἕλληνας εὐεργεσίας τοῦ ἀειμνήστου Δημητρίου (βλ. ὄπισθεν σελ. 36) ἐπὶ τοῦ τάφου αὐτοῦ ἐκ μαρμάρου καλλίστου ἰδίᾳ δαπάνῃ λαμπρὸν ἀνήγειρε μνημεῖον. Τὰς αὐτὰς δὲ τιμὰς ἐφιλοτιμήσατο ἀντιπαρασχεῖν καὶ ὁ ἀξίως τὸν θρόνον καὶ τὰς ἀρετὰς καὶ τὴν φιλίαν ἐκείνου διαδεξάμενος Εἰρήναρχος (ὁ καὶ ἐν τῷ Ἀθήνῃσι Ῥωσσικῷ ναῷ ἐπὶ διετίαν διαπρέψας ἐπ' ἀρετῇ καὶ παιδείᾳ) τῷ Γρηγορίῳ, ἐγείρας καὶ αὐτὸς ὅμοιον μνημεῖον ἐπ' αὐτῷ. Καὶ τοῦτο τεκμήριον τῆς ἀδελφικῆς ἀγάπης Ἑλλήνων καὶ Ῥώσσων.

Σκῆνος Γρηγορίοιο θεουδέος ἀρχιερῆος
Ἐν πολυθαλήτῳ θέντο Θεοῦ τεμένει.
Τὸν δ' Ἔφεσος τέκε, θρέψε δ' Ἄθως, κλήϊστο δὲ ποιμὴν
Εἰρηνουπόλεως· νῦν δ' ἄρ' Ὄλυμπον ἔχει,
Μνῆμα μέγ' εὐσεβίης σοφίης τ' ἀρετῆς τε λελογχὼς
Ἑλλάδα καὶ Δακίην καὶ χθόνα Ῥωσσιάδα.

---

Ὦ μάκαρ ἱεράρχα, ὦ Γρηγόρι', ὅρμε πενήτων,
Ἕρμα πάτρης, κῦδος θεύμορον εὐσεβίης,
Τύνη μὲν μακάρων χορὸν ἔπτης νεύματι θείῳ,
Σῶμα λιπὼν τύμβῳ τῷδε καλυπτόμενον.
Ἀλλά, Πάτερ, πολλοί σε λάτρεις Χριστοῦ ποθέουσι,
Βασσαράβαι, Δᾶκες, Ἑλλάς, Ἄθως, Ἔφεσος.
Πᾶσι γὰρ ἦσθα φόως· μνήμην δὲ λέλοιπας ἀγήρω,
Ὀγδώκοντ' ἐπὶ πέντ' ἐξανύσας ἔτεα.

§. ια. Εἴπερ δὲ κατὰ τὸν σοφὸν Σειρὰχ «Ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ» (α), οὐκ ἄκαιρον ἴσως καί τινα σημεῖα τοῦ ἔξω ἀνθρώπου ἢ τοῦ τύπου τοῦ σώματος ἐπισυναφθῆναι, « δι' ὧν ἡ φύσις λαλεῖ τοὺς τρόπους ἑκάστου κηρύττουσα», κατὰ τὸν σοφιστὴν Ἀδαμάντιον (β), ὃς οὐ μόνον τὸ σχῆμα διαζωγραφεῖ, ἀλλὰ καὶ τὰς ἀρετὰς ὑποδείκνυσι καὶ τὴν ἰδιάζουσαν τῷ Ἑλληνικῷ εἴδει φυσιογνωμίαν ἐπιεικῶς ἐξεικονίζει (γ). Ἦν οὖν ὁ Γρηγόριος τὸ

---

(α) Σειρ. ιθ, 19. πρβλ. καὶ Ψαλμ. λη, 6.

(β) Φυσιογνωμονικ. Α. ἐν Script. Physiognomoniae veteres. edid. Franzius p. 314. Altenburgi, 1780.

(γ) Εἰ δέ τισι τὸ Ἑλληνικὸν καὶ Ἰωνικὸν γένος ἐφυλάχθη καθαρῶς, οὗτοί εἰσιν αὐτάρκως μεγάλοι ἄνδρες, εὐρύτεροι, ὄρθιοι, εὐπαγεῖς, λευκότεροι τὴν χρόαν, ξανθοί· σαρκὸς κρᾶσιν ἔχοντες μετρίαν, εὐπαγεστέραν· σκέλη ὀρθά· ἄκρα εὐφυῆ· κεφαλὴν μέσην τὸ μέγεθος, περιαγῆ· τράχηλον εὔρωστον· τρίχωμα ὑπόξανθον, ἁπαλώτερον, οὖλον πράως· πρόσωπον τετράγωνον· χείλη λεπτά·

μὲν ἀνάστημα εὐμήκης, ὀρθὸς καὶ ἀκλινής· τὴν δὲ κεφαλὴν εὔγυρος, μέγεθος καὶ ὀρθότητα εὔλογα ἔχουσαν. Κόμη πυκνὴ μῆκος ἔχουσα μετὰ λειότητος καὶ ἄκρουλος· μέτωπον τετράγωνον καὶ ἀρχαϊκόν· ὀφθαλμοὶ καστανόχροες, μεγέθους καὶ χαροπότητος εὖ ἔχοντες, καὶ πολὺ τὸ κόσμιον, πρᾶον καὶ πρὸς συμπάθειαν εὐκίνητον ἐμφαίνοντες διὰ δασειῶν καὶ μηδέποτ' εἰς ὑπερηφάνειαν ἀνασπωμένων τῶν ὀφρύων· ῥὶς γρυπή, τὰ ἄκρα δ' ἀμβλεῖα· μυκτῆρες μικρὸν ἀναπεπταμένοι· χείλη ἠρέμα παχέα, καὶ εὐαφῶς περιφράσσοντα στόμα εὐμέγεθες καὶ πνευματώδη καὶ μελῳδικὴν τὴν φωνὴν προϊέν, καὶ κατακηλοῦν τὰς τῶν ἀκροωμένων αὐτοῦ ἀκοὰς ἔν τε ταῖς κατ' ἰδίαν ὁμιλίαις κἀν ταῖς ἐπ' ἐκκλησίας δοξολογίαις· ὅλον δὲ τὸ πρόσωπον στρογγύλον καὶ σαρκῶδες, πολλὴν τὴν μεγαλοπρέπειαν ἐμφαῖνον· τὸ χρῶμα λευκὸν, ἐρυθήματος ὑπόπλεων καὶ τὸ ἐκ τῆς σωφροσύνης καὶ ἐγκρατείας ἄνοσον καὶ σθεναρὸν μαρτυροῦν· πυκνὴ δὲ καὶ παχεῖα καὶ περιφερὴς ἡ πολιά. Καὶ καθόλου πᾶσα ἡ τοῦ σώματος αὐτοῦ συμμετρία πολὺ κατεδείκνυε τὸ γεραρὸν, τὸ εὐσεβές, τὸ συνετόν, τὸ εὔβουλον, τὸ χρηστὸν καὶ φιλομαθὲς τοῦ ἀνδρὸς καὶ αὐτοῖς τοῖς μήπω τὸν νόον καὶ τὴν σοφίαν ἰδοῦσι, καθ' ἃ διδάσκει τὸ ἐπὶ τῆς ἐν τῷ μοναστηρίῳ τῆς Ῥακετόσης εἰκόνος αὐτοῦ τετράστιχον τόδε.

Ἄνθρωπε βλέψον μὴ εἰς εἶδος ἀνέρος,
Ἀλλὰ νόον νῷ καὶ μάθησιν ἀξίαν
Ἐγρηγόρου φέροντος τ' οὔνομ' ἀγλαόν,
Τῶν ποιμένων τε κλεῖος ὄντος ἀτρεκές.

Ἐτίμησε δὲ τὸν Γρηγόριον κατ' αὐτὴν τὴν ἀκμὴν τῶν

---

ῥῖνα ὀρθήν· ὀφθαλμοὺς ὑγροὺς, χαροποὺς, γοργούς, φῶς πολὺ ἔχοντας ἐν αὐτοῖς· εὐοφθαλμότατον γὰρ πάντων ἐθνῶν τὸ Ἑλληνικόν. Ἀδαμάντιος Φυσιογνωμονικ. Β. σελ. 412—413.

φιλανθρωπικῶν ἐργασιῶν αὐτοῦ ὁ ἀείποτε τὴν ἀνυπόκριτον ἀρετὴν βραβεύσας καὶ τιμήσας φιλέλλην Αὐτοκράτωρ Νικόλαος, πέμψας αὐτῷ τὸ παράσημον τῆς ἁγίας Ἄννης. Εἶτα δὲ καὶ ὁ τῆς Ἑλλάδος αἰσίως βασιλεύων Μεγαλειότατος Ὄθων, ἅμα πυθόμενος τὴν φιλογένειαν καὶ τὰς λοιπὰς ἀρετὰς καὶ τοὺς ἀγῶνας τοῦ ἀοιδίμου, ἐβράβευσε διὰ τοῦ παρασήμου τῶν Ταξιαρχῶν τοῦ Σωτῆρος. Τοῦτον δ' ἐκεῖνος, καίτοι πρότερον ἐκ ταπεινοφροσύνης ἀποποιούμενος (α). ἀλλ' οὖν τότ' ἐξ ὑπερβαλλούσης φιλοπατρίας, ὡς ἔγραφε πρὸς τὸν ἀοίδιμον ἡμῶν Πατέρα, ὑπτίαις χερσὶν ἐδέξατο καὶ μετὰ δακρύων χαρᾶς κατησπάσατο, εὐχαριστῶν καὶ μεγαλύνων τὸν ἐπακούσαντα τῶν ὑπὲρ τῆς φιλτάτης πατρίδος ἐνθέρμων δεήσεων αὐτοῦ, καὶ εὐδοκήσαντα ἵνα καὶ αὐτὸς συνεργὸς τῆς ἀπελευθερώσεως αὐτῆς καὶ μέτοχος γένηται τῶν δεινῶν καὶ ἀγώνων, οὓς πολλοστημόριον τῶν πρὸς τὴν πατρίδα χρεῶν αὐτοῦ μεγαλοφρόνως προσωνόμαζεν (β).

---

(α) Τοῦτο καταδείκνυται ἔκ τε τῆς προμνησθείσης πρὸς τὸν Ῥίζον ἐπιστολῆς (σελ. 36), καὶ ἐκ τῆς ἑξῆς περικοπῆς, ἣν ἔγραφε πρὸς αὐτὸν προαγγείλαντ' αὐτῷ τὴν ἐκείνου ἀποστολὴν ἀντὶ τῶν ὑπὲρ τῆς Ἑλλάδος ἀγώνων. «Ἀλλ' οὐαί μοι, ἔλεγεν, εἰ μὴ ἐξεπλήρουν ἱερὸν καθῆκον ἐν ἀγῶνι οὕτως εὐσεβεῖ καὶ ἁγίῳ, κινδυνευούσης τῆς Πατρίδος. Ἀλλὰ τοῖς ἐν τῷ ἱερῷ καταλόγῳ οὖσι τὰ βασιλικὰ παράσημα προσφερόμενα, εἰ καὶ πρέποντά εἰσι καὶ δίκαια καὶ μάλιστα εἰς δόξαν Θεοῦ ἀφορῶντα, ἀλλ' αὐτοῖς ἐκείνοις αὐτὰ ζητεῖν ἀπείρηται».

(β) Ἰδοὺ ἡ περικοπὴ τῆς κατὰ τὸ 1841 Δεκεμβρ. 29 ἐκ Κισνοβίου ἐπισταλείσης ἐπιστολῆς αὐτοῦ. «Τὸ παράσημον τῶν Ταξιαρχῶν ἐδεξάμην ὑπτίαις χερσὶ, κρουνηδὸν δάκρυα χαρᾶς ἐξέχεα ἐπ' αὐτῷ, κατεφίλησα, ἠσπασάμην, τέλος κατὰ τὸ ἔθος περιῆψα τῷ ἰδίῳ τραχήλῳ· ὅπερ δὲ μεῖζον τῆς ἀνεκφράστου χαρᾶς καὶ εὐφροσύνης αἴτιον, ὅτι ἐπὶ τῶν πονηρῶν ἡμερῶν τῆς ἐμῆς ταπεινότητος ἤρξατο οὗτος ὁ ἀγών, κἀγὼ συνεργός, καὶ ἐπ' αὐτῶν

Ἡ δὲ τῶν Κισνοβίων πόλις ἀπομνημονεύουσα τὰς ἀρετὰς τοῦ Γρηγορίου καὶ τὴν συῤῥοὴν τοῦ πλήθους, τοῦ κατὰ τὰς ἡμέρας τοῦ ἐπιθανατίου νοσήματος συνελθόντος καὶ θρηνοῦντος καὶ ὀδυρομένου καὶ εὐχομένου ὑπὲρ τοῦ κοινοῦ αὐτῶν πατρὸς (ὡς αὐτοὶ ἐρωτώμενοι ὑπὸ τῶν θαυμαζόντων τὰ γινόμενα ἀρχόντων καὶ πολιτῶν ἔλεγον), ἐψηφίσατο ἵνα ἡ ὁδὸς, ἐν ᾗ ἦν ἡ τοῦ ἀοιδίμου οἰκία, ἐπονομάζηται «ὁδὸς Εἰρηνουπόλεως».

§. ιϐ. Καὶ τοιοῦτο μὲν ἐγένετο τὸ τέρμα τῆς ζωῆς τοῦ ἀοιδίμου Γρηγορίου, οὗτινος τὴν εἰκόνα ἐκτυπώσαντες ἀκριβῶς, ὅσον ἠδυνήθημεν, ἐπισφραγίζομεν τὸν λόγον διὰ τῆς παραμυθητικῆς ἐπιστολῆς τοῦ ἀειμνήστου ἡμῶν Πατρὸς, ἣν ἔγραψε (τῇ 18 Φεβρ. 1846) πρὸς τὸν ἀγγείλαντ' αὐτῷ τὸν θάνατον τοῦ Εἰρηνουπόλεως, καλλίπλοκον οἱονεὶ στέφανον ἀληθοῦς φιλίας ἐπιτιθέντες ἐπὶ τῆς ἀμαράντου μνήμης τοῦ εὐεργέτου τούτου τοῦ Ἑλληνικοῦ γένους, καὶ τῆς ἐκκλησίας πιστοῦ καὶ καλοῦ στρατιώτου, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις ἔσται. Ἔχει

---

τούτων μετὰ πολλὰ ἄλγεα καὶ δεινά, ὧν κἀγὼ μέτοχος, διὰ τῆς δεξιᾶς τοῦ ὑψίστου εἴληφε πέρας αἴσιον, καὶ βασιλεύει σήμερον ἡ Ἑλλὰς καὶ εἰς τὸν αἰῶνα, καὶ ἀμοιβὰς ἀπονέμει. Τούτου τοῦ βραβείου ἐγὼ οὐκ ἦν ἄξιος ἴσως, ὅτι τῶν πρὸς τὴν φιλτάτην πατρίδα καθηκόντων ἐπλήρωσα πολλοστημόριον. Ἀλλὰ καὶ οὕτως ηὐδόκησεν ἡ Αὐτοῦ Μεγαλειότης ἐπιεικῶς ἐκτιμῆσαι τὰς μικρὰς ταύτας προσπαθείας μου· εἴη τοίνυν τὸ κράτος αὐτοῦ αἰώνιον, καὶ ἡ βασιλεία αὐτοῦ εὐδαίμων, προάγουσα καὶ ἀναβάσεις τιθεμένη δόξης, πλούτου, ἐκτάσεως καὶ δεσποτείας μετ' ἀνδρείας καὶ εὐκλείας, ἡμέραν ἐξ ἡμέρας καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εἴη δὲ καὶ τὸ ἀνδρεῖον καὶ πιστὸν Ἑλληνικὸν γένος ὑγιὲς καὶ εὔδαιμον, ἐπηρείας πάσης ὑπερκείμενον, τροπαιοφόρον ἀεὶ καὶ ἀήττητον».

δὲ ἡ ἐπιστολὴ ὡς ἑξῆς. « Δάκρυσι καθύγρανα τὴν ἀπὸ 12 τοῦ παρελθόντος μηνὸς ἐπιστολήν σου καὶ δακρύων ἤδη γράφω τὴν ἀπάντησιν. Οἵαν ζημίαν ἔπαθε καὶ ἡ πατρὶς καὶ ἡ ἐκκλησία διὰ τὴν ἀποβίωσιν τοῦ ἀοιδίμου καὶ τρισμακαρίστου ἱεράρχου, τοῦ ἀειμνήστου Εἰρηνουπόλεως! Ὁ πολυφεγγὴς οὗτος ἀστὴρ τοῦ ἐκκλησιαστικοῦ στερεώματος ἔδυ· τὸ πάμφορον λήϊον τῶν ἀρετῶν ἐθερίσθη· ἡ ἀείβρυτος τῆς ἀγαθουργίας καὶ ἐλεημοσύνης πηγὴ ἐσφραγίσθη· ὁ σπάνιος ἄνθρωπος, ὁ κατηγλαϊσμένος σοφίᾳ καὶ συνέσει καὶ πνευματικῇ ἐμπειρίᾳ καὶ πνευματικῇ πραότητι, ἐτελεύτησε τὸν βίον τὸν ἐπίκηρον· ἡ στέρησις πικρά· δακρύουσιν οἱ φίλοι· στενάζουσι καὶ ὁμογενεῖς καὶ ἀλλογενεῖς· σκυθρωπάζει δὲ καὶ ἡ ἐκκλησία. Ἀλλ' οὕτω, φίλε, ἔδοξε τῷ Κυρίῳ· μένει μόνον παρ' ἡμῖν ἡ ἀοίδιμος αὐτοῦ μνήμη, αἱ διηνεκεῖς καὶ θερμόταται ὑπὲρ τῆς μακαρίας αὐτοῦ ψυχῆς εὐχαί, ὁ γνήσιος καὶ εἰλικρινὴς ἔπαινος τῶν πολλῶν καὶ μεγάλων αὐτοῦ ἀρετῶν· τ ὸ ν γ ὰ ρ ἔ π α ι ν ο ν α ὐ τ ο ῦ ἀ ν α γ γ ε λ ε ῖ ἡ ἐ κ κ λ η σ ί α, τὸ γραφικὸν ἐντέλλεται ῥητόν. Αὐτὸς δὲ ὁ ἀοίδιμος ἐν ἀναπαύσει καὶ ἔστι καὶ ἔσται εἰς αἰῶνα αἰῶνος, ἀποθησαυρισθεὶς ὡς ὥριμος στάχυς ἐν χώρᾳ δικαίων μεταξὺ τῶν ἀοιδίμων ἱεραρχῶν, ὧν τὸν βίον καὶ τὰς πράξεις ἀμέμπτως ἐζήλωσεν. Αὕτη ἡμῖν μεγίστη παραμυθία, φίλε Ἰθακήσιε. Σὺ δὲ ἄρα κἀγὼ μετὰ σοῦ καὶ πάντες οἱ φίλοι καὶ γνώριμοι τοῦ ἀξιομακαρίστου ἱεράρχου ἐπὶ πλεῖον ηὐχόμεθα παραταθῆναι τὴν ἐπὶ γῆς κοινωφελεστάτην αὐτοῦ ζωήν, ἵνα ἐπὶ πλείονι ᾖ κοινὸν ἀγαθόν· ἀλλ' ὁ πάντα πρὸς τὸ συμφέρον βάθει σοφίας οἰκονομῶν οἶδε τοὺς ὅρους τῆς ἑκάστου τελευτῆς. Πολλοὶ καὶ ἄλλοι πατέρες καὶ μεγάλοι φωστῆρες τῆς ἐκκλησίας ἐγένοντο καὶ

ἐτελεύτησαν καὶ οἱ πλεῖστοι τοῦ ἀοιδίμου νεώτεροι· μνήσθητι τοῦ μεγάλου Βασιλείου καὶ τοῦ θείου Χρυσοστόμου, πολλῷ νεώτεροι τοῦ ἀοιδίμου Γρηγορίου ἐτελεύτησαν· καὶ ὁ ὁμώνυμος αὐτοῦ Γρηγόριος ὁ θεολόγος ἐπὶ τῆς αὐτῆς αὐτῷ ἡλικίας ἀπέθετο τὸ σκῆνος τῆς φθορᾶς εἰς οὐρανοὺς μεταστάς· «τίς γὰρ ἔστιν ἄνθρωπος, ὅστις ζήσεται καὶ οὐκ ὄψεται θάνατον»; Σὺ δὲ τῷ πάθει κεκρατημένος καὶ ἀγανακτοῦντι ἔοικας, ὅτι μὴ ἐπὶ δέκα γοῦν ἐτῶν ὁ βίος τῷ ἀειμνήστῳ θεόθεν προσεπηυξήθη· ἀλλὰ μὴ καὶ μετὰ ταῦτα οὐκ ἔμελλε τελευτήσειν; Προσετέθησαν τῷ Ἐζεκίᾳ παρὰ Θεοῦ ἔτη δεκαπέντε· ἀλλὰ καὶ μετὰ ταῦτα θάνατος· τί δὲ πρὸς τὴν αἰωνιότητα τοῦ μέλλοντος βίου ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν τῆς ἀνθρωπίνης ζωῆς ἀριθμός; Ὡς ἄνθος παρέρχονται ἐν μιᾷ στιγμῇ τὰ πάντα. Ἀλλ' ἐρεῖς ἴσως, ἆρα γε διαδέξεται αὐτὸν παραπλήσιος ὁπωσοῦν ἐν ἀρετῇ, ὅπως δηλονότι συνεχίζηται πρὸς τοὺς χρείαν ἔχοντας ἡ τῆς ἀγαθοεργίας σειρά; Ἀλλὰ περὶ τούτου Θεὸς ὄψεται, φίλε Ἰθακήσιε. Εἰ μὲν γὰρ ἄξιοι τῆς εὐεργεσίας εἰσὶν οἱ εὐεργετούμενοι, οὐ στερήσει τούτους τῆς παραμυθίας ἡ πανάγαθος πρόνοια· εἰ δὲ μή, ἀρθήσεται ἀπ' αὐτῶν ἡ οὐράνιος χάρις. Καὶ τὸν εὐσεβέστατον Ἰεζεκίαν διεδέξατο πάντῃ ἀνόμοιος υἱός, οἷος ἔπρεπε ποιμὴν τοῖς ἀχαρίστοις ἐκείνοις».

Ἔγραφον Ἀθήνῃσι, τῇ κα, Μαΐου, ͵αωξ.

---

# ΙΕΡΕΜΙΑΣ.

## ΕΛΕΩι ΘΕΟΥ

## Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης (α).

Γαληνότατε Πρίγκεψ τῶν κλεινῶν Βενετιῶν, Κύριε κύριε Νικόλαε Νταπόντε, υἱὲ ἀγαπητὲ κατὰ Πνεῦμα τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος καὶ πᾶν ἀγαθὸν καὶ σωτήριον ἐπευχόμεθά σοι ἀπὸ Θεοῦ. Ὁ ἐνταῦθα περιφανέστατος Βάϊουλος

(α) Κεῖται ἡ ἐπιστολὴ αὕτη ἐν τῷ Κεντρικῷ Ἑνετικῷ Ἀρχείῳ (Archivio centrale dei Frari in Venezia. Atti del Collegio Sez. III. Secreta. βλ. ὄπισθεν σελ. 7). Μετάφρασις δ' αὐτῆς ἰταλικὴ ἐτυπώθη ἐν Fab. Mutinelli Storia arcana e aneddotica d'Italia raccontata dai Veneti Ambasciatori. T. I. p. 237. Venezia, 1855. Γέγραπται δ' ἡ ἐπιστολὴ αὕτη τῷ ͵αφπϐ σωτηρίῳ ἔτει· ὁ γὰρ Ἱερεμίας ὁ Β΄. ὁ ἐπιλεγόμενος Τ ρ α ν ὸ ς καὶ ἀληθῶς τὴν περ παντὸς τοῦ χριστεπωνύμου πληρώματος κηδεμονίαν τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου πανταχοῦ διατρανώσας, ἀνέβη μὲν ἐπὶ τοῦ θρόνου τῷ ͵αφοβ, τῷ δὲ ͵αφϙς ἐπὶ τῆς γ΄. αὐτοῦ πατριαρχείας ἀπεδήμησε πρὸς Κύριον· ἔτι δὲ μέμνηται αὐτὸς ταύτης καὶ ἐν τῇ πρὸς τὸν Φιλαδελφείας τῷ ͵αφπη. ἐπισταλείσῃ (Τόμ. Ἀγαπ. σελ. 541), ἔνθα λέγει «Κἀκεῖνος (ὁ Γρηγόριος) περὶ τῆς τοῦ πάσχα διαφορᾶς ἔφθασε γράψας ἡμῖν, ᾧ καὶ τὴν ἀπολογίαν ἡμεῖς ᾗ δυνάμεως τὸ τηνικάδε εἴχομεν δόντες, πρός τε τὸ ἐκλαμπρότατον καὶ γαληνότατον Σενᾶτον τῶν Ἑνετῶν ὡσαύτως· [καὶ] ἔμεινε τὰ πράγματα ἄχρι τοῦ νῦν ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ». Φαίνεται λοιπὸν ὅτι, συγχρόνως ἐγένοντο αἱ ἀπαντήσεις, ἥ τε πρὸς τὸν Γρηγόριον τὸν ιϛ΄, τὸν ἀνακινήσαντα τὴν καινοτομίαν ταύτην, καὶ ἡ πρὸς τὴν Σύγκλητον, αἰτησαμένην διὰ τοῦ Βαϊούλου κατὰ προτροπὴν τοῦ Πάπα, ὡς φαίνεται, τ ὴ ν ο ἰ κ ο ν ο μ ί α ν, ἢ μᾶλλον ὀλίγῳ πρότερον ἡ δευτέρα. Ἐγένετο δὲ ἡ πρώτη τῷ ͵αφπϐ. (Βλ. Μελετ. Ἐκκλησ. ἱστορ. Τόμ. γ. σελ. 402) μετὰ τὴν 12 φεβρουαρίου· κατὰ γὰρ τὸν χρόνον τοῦτον ἦσαν ἔτι ἐν Ῥώμῃ ὅ τε Κερκυραῖος Μιχαὴλ Ἔπαρχος καὶ ὁ Ζακύνθιος Ἰωάννης Βονχφαῖος, οἵτινες ἀπεστάλησαν μετὰ παπικῆς πρὸς τὸν Κωνσταντινουπόλεως ἐπιστολῆς καὶ δώρων καὶ ἱκανῶν ἐφοδίων, ὡς φαίνεται ἐν τῇ πρὸς τὴν Σύγκλητον τοῦ ἐν Ῥώμῃ πρέσβεως ἐκθέσει, ἔνθα λέγεται καὶ ὅτι, προὐτάθη αὐτῷ ἵνα ἐπιταχθῇ ὁ τῆς Ζακύνθου καὶ Κερκύρας κλῆρος αἰτήσασθαι τὴν διόρθωσιν (Βλ. Mutinelli l. c. p. 133.). ὅπερ αὐτὸς μὲν φαίνεται ἀποδοκιμάζων, ἀλλ' ἡ Σύγκλητος τὴν ἀρχὴν ἐπεδοκίμασεν, ὡς φαίνεται

κύριος Τζουάνν Φραντζέσκος Μουρεζίνης, ἐμφανισθεὶς ἡμῖν σωματικῶς, ἠξίωσεν ἡμᾶς ὡς ἀπὸ τῆς σῆς γαληνότητος καὶ πάσης τῆς μεγαλοπρεποῦς Ἀριστοκρατίας ὑμῶν, ἵνα πρόβλεψίν τινα οἰκονομήσωμεν, δι' ἧς, τῆς νέας διορθώσεως γεγονυίας τοῦ ἔτους, δυνηθῇ ἡ Ἐκκλησία τῆς παλαιᾶς καὶ νέας Ῥώμης συνεορτάζειν ἕνεκα τῆς ἑπομένης εἰρήνης τῶν ἁπανταχοῦ Χριστιανῶν. Ἐπεὶ δὲ ἤκουσε παρ' ἡμῶν, ὅτι ἀδύνατον ἡμῖν γενέσθαι, ἐν μέρει τὰ κωλύοντα διηγησαμένων, ὡς φιλόχριστον ὄντα σε καὶ φιλέλληνα, καὶ ὡς τὴν ἀρχὴν ὑμῶν φιλοῦσαν τοὺς Γραικοὺς τῶν ἄλλων πλέον χριστιανικῶν ἀρχῶν (α), γράψαι πρὸς σὲ ἐκρίναμεν διὰ τὴν θείαν εἰρήνην· οὐ γὰρ ἀγνοοῦμεν ὅσα σκάνδαλα ἔχουσι γενέσθαι διὰ τὰ

---

ἔκ τε τῆς πρὸς τὸν Φιλαδελφείας κτλ. ἐπιστολῆς τοῦ Ἱερεμίου, καὶ ἐκ τῆς κατὰ τὸ αφπς πρὸς τὸν αὐτὸν ἐκ Κωνσταντινουπόλεως ἐπισταλείσης ὑπὸ τοῦ Μακαριωτάτου Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, ἐν ᾗ λέγει, ὅτι πρὸς τοῖς ἄλλοις ἐλαττώμασιν ἔχει τὸ νέον ἡμερολόγιον καὶ τὸ ὅτι, οἱ δυτικοὶ παρὰ τὸν κανόνα καὶ τοῖς Ἰουδαίοις συνεώρτασαν· ἐξ ἧς δὲ τῷ αφηθ πρὸς ἐκεῖνον ἔγραψεν αὐτὸς φαίνεται ὅτι, ἡ Ἐνετικὴ ἀρχὴ τότε ἰδοῦσα τὸ ἀμετάθετον τῆς τῶν ὀρθοδόξων γνώμης, καὶ πεισθεῖσα ἐκ τῶν ἰσχυρῶν αὐτῶν λόγων περὶ τοῦ δικαίου αὐτῆς «χάριτάς τε ᾔδει καὶ ὡμολόγει (τοῖς προμάχοις αὐτῶν) καὶ ἐδιδάξατο ἐπιστείλασα εἰς Κρήτην, ὥστε τὸ γένος ἡμῶν τελείως ἀπαλλαγῆναι τῶν τοῦ Πάπα μηχανημάτων, ἐξεῖναί τε τοῖς Γραικοῖς, ἅτε χριστιανοῖς οὖσι καλοῖς, υἱοῖς τε ἀγαπητοῖς καὶ πιστοῖς οἰκέταις τῆς Γαληνοτάτης αὐθεντίας, κατὰ τὰ δόγματα καὶ ἔθη τῆς Ἀνατολικῆς Ἐκκλησίας, ὡς τὸ ἀπ' ἀρχῆς, πολιτεύεσθαι.» Κεῖνται δ' αἱ μνημονευθεῖσαι ἐπιστολαί, ὡς καὶ ἄλλαι τινὲς περὶ τοῦ αὐτοῦ ἐν τῷ παρ' ἡμῖν ἀπογράφῳ τῶν τοῦ Μελετίου ἐπιστολῶν ἐν τάξει ρ. καὶ σλζ.

(α) Ἀληθῶς ἡ Ἐνετικὴ ἀρχὴ μετὰ τὴν ἐπικράτησιν τῆς ὀθωμανικῆς ἐδείχθη πρὸς τοὺς ὑποκειμένους ἢ ἔξωθεν προσερχομένους ὀρθοδόξους Ἕλληνας μᾶλλον εὔνους καὶ ἀνεξίθρησκος, πολλάκις χάριν τοῦ ἰδίου συμφέροντος καὶ πρὸς τὰς παπικὰς ἀξιώσεις ἀνθισταμένη, καὶ τοὺς ἐπὶ παιδείᾳ καὶ ἀρετῇ διακρινομένους τῶν Ἑλλήνων τιμῶσα καὶ περιθάλπουσα. Ἀλλ' αἱ λοιπαὶ δυτικαὶ ἀρχαί, καὶ μάλιστα ἡ τῆς Ῥώμης, Νεαπόλεως καὶ Σικελίας, ἐλαυνόμεναι ὑπὸ τῆς μισαλλοδοξίας καὶ ἀπειροκαλίας, ἐστενοχώρουν καὶ περιεφρόνουν ἀγνωμόνως τοὺς ἐκεῖσε προσερχομένους καὶ ἀνεκτιμήτους θησαυροὺς εἰσκομίζοντας τῆς ἑλληνικῆς σοφίας μύστας. Ὅθεν καὶ ὁ ἀοίδιμος Κωνσταντῖνος ὁ Λάσκαρις δυσανασχετῶν ἔγραφεν ἐκ Σικελίας πρὸς Ἰωάννην τὸν Πάρδον. «Ὅταν τὰ παρόντα διανοοῦμαι δεινὰ καὶ τὴν ἐνταῦθα θηριότητα, οὐ μόνον Μεδιόλανον καὶ τὰς ἐκεῖσε πόλεις ποθῶ, ἀλλὰ καὶ τὰς Βρεττανικὰς νήσους, καὶ, εἰ βούλει γε, καὶ τὰς μακάρων. Ὅταν

νέα ταῦτα. Ἄξιον τοίνυν κρίνομεν οἰκονομίαν τινὰ γενέσθαι, ἣν μὲν ἐγὼ (ἴσ γρ. ἐγὼ μὲν) πᾶσι διὰ γραμμάτων ὁρίσω, καὶ μᾶλλον εἰς Κρήτην καὶ τὰς λοιπὰς νήσους· ἡ δὲ Γαληνότης σου ἐπινεύσει καὶ προστάξει. Καὶ ὥσπερ οἱ κατὰ καιροὺς τῆς πρεσβυτέρας Ῥώμης Μακαριώτατοι εἰρήνης ἕνεκα ἔγραψαν καὶ ὥρισαν, ἵνα οἱ μὲν αὐτοῖς ὑπήκοοι τὰ ἔθη αὐτῶν κρατῶσιν, οἱ δὲ τῆς Ἀνατολικῆς ἡμῶν ἐκκλησίας τὰ ἑαυτῶν, καὶ οὔτε Λατῖνοι Γραικοὺς ἐνοχλῶσιν, οὔτε Γραικοὶ Λατίνους, ἀλλ' ἐν ἀγάπῃ καὶ ὁμονοίᾳ τὸν ἕνα Χριστὸν δοξάζωσιν (α)· οὕτω καὶ νῦν ἔσται· *ἡ μὲν Ἐκκλησία ἡμῶν διακρατῇ τὰ παραδοθέντα αὐτῇ, ἡ δὲ Δυτικὴ ὡς θέλει καὶ βούλεται. Ἄλλως γὰρ ποιῆσαι οὐκ ἔχομεν ὅλως*, ὡς παντὸς Πατριάρχου τῆς ἐκκλησίας ἡμῶν κανόσι καὶ νόμοις ὀφείλοντος ὑποκεῖσθαι, καὶ παραδόσεσιν ἐκκλησιαστικαῖς· καὶ οὕτω διακρατοῦντος καὶ τοὺς ἐνταῦθα κυβερνῶντος, μένει τὰ τῶν Ἁγίων Πατέρων πεφυλαγμένα. Τὸ σεβάσμιον τοίνυν Πάσχα, ἐν ᾧ τὸ κεφάλαιον τῆς περὶ ἡμᾶς τοῦ Κυρίου οἰκονομίας ἐξείργασται, παρά τε τοῦ θείου Κλήμεντος διετάγη, καὶ παρὰ τῆς ἐν Νικαίᾳ Συνόδου καλῶς ἐθεωρήθη, κανόνιόν τε ἄριστον συνετέθη

---

δὲ πάλιν τὴν ἄγαν ἀγνωμοσύνην τῶν τυραννούντων ἐνθυμηθῶ καὶ τὴν ἀφόρητον ἐκείνων ἄμισθον παιδαγωγίαν, μετάμελος γίνομαι, καὶ μᾶλλον τὰς Φιλοξένου λατομίας ἑλκοίμην (ἴσ. γρ. ἑλοίμην ἄν), ἢ τοιούτοις συνεῖναι τυράννοις· ἐκεῖνος μὲν γὰρ ἑνὶ δουλεύων, κἀκείνῳ φιλοσόφῳ καὶ δυνάστῃ, οὐκ ἔφερεν, ἀλλ' ἀποδρὰς ἐς Τάραντον ᾤχετο· ἐγὼ δὲ σμήνει ἀνδρων κακοήθων πῶς ἂν οἷός τε εἴην συζῆ; Ῥώμην μέν, τὴν νέαν Βαβυλῶνα καὶ τροφὸν πάσης κακίας, οὐδ' ἰδεῖν ἀξιῶ. Νεάπολιν δὲ τὴν ἀχάριστον φεύγω ἀκούων· πεπείραμαι γάρ. οὔτε γὰρ μισθὸς παρὰ τῶν ἀκουόντων, οὔτε παρὰ τοῦ κρατοῦντος .... καὶ ἵν' οὕτως εἴπω, μεστὰ μὲν τὰ βασίλεια κολάκων καὶ βωμολόχων, ἐπὶ θύρας δὲ δυνάτων (γρ. δ υ ν α τ ῶ ν ἢ δ υ ν α σ τ ῶ ν) ἀσελγεῖς εὐτυχοῦντας ἰδεῖν ἔξεστι.» κτλ. Βλ. Iriarte Reg. Biblioth. Matrit. Cod. Graec. Mss. Vol. 1. pag. 290-295. ἔνθα ἐκδίδονται τεσσαρεσκαίδεκα τῶν τοῦ σοφωτάτου Κ. Λασκάρεως Ἀττικοῦ μέλιτος καὶ χάριτος ἀποσταζουσῶν ἐπιστολῶν.

(α) Βλ. Τὴν Βούλλαν τοῦ Πάπα Λέοντος τοῦ δεκάτου ἐν Π. Χιώτου Ἱστορ. Ἀπομνημ. Ζακύνθ. σελ 321, ἔνθα πρὸς τοῖς ἄλλοις ἀξιολόγοις ἱστορικοῖς ὑπομνήμασι παράγονται ὁμολογοῦντες αὐτοὶ αὐτῶν οἱ Λατῖνοι τὰς κατὰ τῶν Ἑλλήνων καταδιώξεις.

αὐτοῖς αἰώνιον, ἀστρονόμων ἑκάστοτε μὴ δεόμενον, παραδεδομένον τῇ ἐκκλησίᾳ· οὗ τὸ ἴσον, ὡς οἶμαι, ἔχει ὁ ἡμέτερος αὐτοῦ ἐπίτροπος, ὁ ἱερώτατος Φιλαδελφείας (α)· καὶ εἰ βούλει, ἀνάγνωθι καὶ γνῶθι, ὡς καλὸν καὶ διορθώσεως οὐ χρείαν ἔχον, ὡς παρὰ τῶν θεοσόφων Πατέρων ἀρτιωθέν. Τῶν αἰτιῶν λοιπὸν τούτων, καὶ ἄλλων εὐλόγων πολλῶν [ἕνεκα] καὶ τὸ περὶ τοῦ Πάσχα ἀκαταζήτητον διατηροῦμεν, καὶ ὅριον αἰώνιον ἔχομεν ἄχρι τῆς ἐνδόξου τοῦ Χριστοῦ ἐλεύσεως φυλαττόμενον· οὐ γὰρ ὑπέρτεροι κανόνων ἡμεῖς, *δι' ὃ πολλοὶ τῆς εὐθείας ἐξετράπησαν*, ὑπήκοοι δὲ καὶ ἐκπληρωταὶ, ὡς δυνατόν, πρὸς οἰκοδομὴν τὴν ἐξουσίαν, ἣν ἔδωκεν ἡμῖν ὁ Κύριος, χρώμενοι ἐν τῇ Ἐκκλησίᾳ τῇ καθ' ἡμᾶς, ἥτις ἔχει λόγους ἁγίων πολλούς, μαρτύρια, κανόνας καὶ ἄλλα καθ' εἱρμὸν ἀναγινωσκόμενα τὸν ἐνιαυτὸν ὅλον· καὶ εἴ τι τῆς παγχρύσου ἁλύσεως ταύτης ἀποτεμοῦμεν, εἰς τὴν τοῦ ὅλου καθαίρεσιν τὴν ζημίαν ἐπάξομεν ἀνωφελῶς. Ὁ μὲν γὰρ σύμπας τῶν ἁγίων Πατέρων χορὸς σκοπὸν ἔχει περὶ τούτου (ἴσ. γρ. τοῦτο), οὐχὶ περὶ θεωρημάτων μαθηματικῶν, ἀλλὰ περὶ Χριςοῦ μαθημάτων, τοῦ μὴ συνεορτάσαι τοῖς Ἰουδαίοις. Εἰ οὖν συνέβη τοῦτό ποτε, σκῆψίν τινα τὰ νέα εἶχον ὡρολόγια. Ἐπεὶ δὲ τῇ χάριτι τοῦ Θεοῦ μέχρι τοῦ νῦν παλαιά τε καὶ νέα Ῥώμη καλῶς τὸν ἕνα Χριστὸν ἅπαξ τοῦ

(α) Οὗτος ἦν ὁ ἐκ Μονεμβασίας Γαβριὴλ ὁ Σεβῆρος, «ὁ θαυμάσιος καὶ ἐπ' ἀρετῇ διαβόητος· ὁ Φιλαδελφείας μὲν (τῆς ἐν Λυδίᾳ) προβληθεὶς μητροπολίτης, μετακληθεὶς δ' ὑπὸ τῆς Γαληνοτάτης ἀρχῆς τῶν Ἐνετῶν (ἐπὶ Πατριάρχου Ἱερεμίου κατὰ τὸ 1577) προΐστασθαι τοῦ ἐκεῖσε τότε μετοικισθέντος τῶν Ἑλλήνων γένους καὶ πάσης τῆς συναγηγερμένης τούτων ἱερᾶς ἀδελφότητος· » κατὰ τὸν Ἱεροσολύμων Νεκτάριον (βλ. τοῦ ἡμετέρου Πατρὸς Περὶ τῶν Ο, Ἑρμηνευτ. Τομ. Δ. σελ. 805, 806. Πρβλ. καὶ τοῦ καλοῦ κἀγαθοῦ φίλου Ι. Βελούδου Sulla Colonia grecca Orient. stabil. in Venez. Οὗ σύνοψις ὑπάρχει ἐν τῷ ἡμερολογίῳ τοῦ 1858, ὅπερ ὁ τότε φρόνημα καὶ τὸ γένος ἀδελφὸς αὐτοῦ Σπυρίδων ἐν Βενετίᾳ ἐξέδωκεν, εὐφυῶς αὐτὸ Χρυσαλλίδα ἐπονομάσας). Εἶχε δὲ οὗτος πλὴν τῆς τὴν ἀδελφικὴν τῶν Γραικῶν καὶ Ἐνετῶν πρὸς ἀλλήλους ἀγάπην ἐμφαινούσης ἐπωνυμίας καὶ τὸν τίτλον ἔξαρχος Πατριαρχικός (βλ. Βαρθ. Κουτλουμουσιανοῦ Ὑπόμν. ἱστορ. περὶ τῆς κατὰ τὴν Χάλκην Μονῆς τῆς Θεοτόκου κτλ. σελ. 88. ἐν Κωνσταντινουπόλει, 1846).

ἐνιαυτοῦ συνεώρταζεν, ὡς ἅπαξ αὐτοῦ παθόντος, τίνος ἕνεκα ἡ σύγχυσις αὕτη καὶ τὸ παγκόσμιον σκάνδαλον τῶν ἀκουομένων δέκα ἡμερῶν; Ἂν γὰρ κἂν κατὰ Πτολεμαῖον τὸν μέγαν ἔλεγον, ἡμέραν μίαν δι' ἑκάστων τριακοσίων ἐτῶν συνάγοντα, ἀπὸ τῆς α'. Συνόδου εὗρον ἂν ἡμέρας τέσσαρας. Ποῦ τοίνυν αἱ λοιπαὶ ἕξ; (α). *Τὴν αὐθεντίαν ἐχέτωσαν οἱ τῶν θείων Πατέρων κανόνες καὶ οἱ νόμοι τῶν εὐσεβῶν βασιλέων*, καὶ οὐχὶ οἱ ἀστρονόμοι, ὧν τὰ τοιαῦτα συμβούλια, ἀσθενῆ τινα, ὡς δοκεῖ, εὑρόντες λαβήν, αἰνιττομένην τοῖς θείοις Πατράσι, καὶ φυλαχθεῖσαν ἀναμάρτητον ἕως τὴν σήμερον. Εἰ γὰρ καὶ ὁ χρόνος καὶ ἡ τῶν φωστήρων κίνησις περὶ τὴν ἡμέραν τοῦ Πάσχα ἀνωμαλίαν τινὰ ποιεῖ, τῇ εὐσεβείᾳ γε μὴν οὐδ' ὁπωστιοῦν τοῦτο λυμαίνεται. Ὅθεν οὐδὲ μετατρέπειν δεῖ τὸν τῶν Ἁγίων Πατέρων κανόνα καὶ καινοτομεῖν καὶ εἰς αἰτίαν στάσεως τὰς Χριστοῦ Ἐκκλησίας κινεῖν. Εἴπερ ἀληθείᾳ καὶ θείῳ Πνεύματι περὶ ἀναγκαίων καλῶς ἐσκόπουν, πολλά εἰσι τὰ ψυχωφελῆ, καὶ οὐχὶ τὰ παίγνια τῶν ὡρολογίων τούτων, οὐδὲν ὄντων. Καὶ ταῦτα μὲν ἐν ὀλίγοις περὶ τούτων. Δώῃ δὲ Κύριος ὁ Θεὸς εἰρηναίαν κατάστασιν ἅπασι τοῖς χριστιανοῖς, τῇ Γαληνότητί σου ὑγείαν καὶ τὴν τῶν ἐφετῶν ἐκπλήρωσιν τῶν πρὸς σωτηρίαν, καὶ πᾶσι τοῖς περὶ σὲ μεγαλειοτάτοις Συμβούλοις τε καὶ λοιποῖς· καὶ ἡ χάρις αὐτοῦ καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν, καὶ ἡ εὐχὴ καὶ ἡ εὐλογία τῆς ἡμῶν μετριότητος. Ἀμήν.

Ἐν μηνὶ Φεβρουαρίῳ, Ἰνδικτιῶνος Ι'.

Τῷ γαληνοτάτῳ Ντόζε τῶν κλεινῶν Βενετιῶν τῷ κατὰ πνεῦμα υἱῷ ἀγαπητῷ τῆς ἡμῶν μετριότητος.

---

(α) Ταῦτα μόνα ἔγραφεν ὁ Ἱερεμίας, ἐπειδὴ ὡς φαίνεται ὁ Πάπας πρὸ τῆς ἀποστολῆς τῶν προειρημένων πρεσβευτῶν, οἱονεὶ ἀποπειρώμενος ἐζήτησε διὰ τῆς Ἐνετικῆς ἀρχῆς τὴν οἰκονομίαν, ἡ δὲ διὰ τοῦ Βαϊσύλου, ἀγνοοῦντος δήπου τοὺς τῆς καινοτομίας ἀστρονομικοὺς λόγους. Ἡ γὰρ κατὰ τὸ ͵αφπγ. Νοεμβρίου κ. πρὸς τοὺς Ἀρμενίους ἐρωτήσαντας περὶ τούτου συνοδικὴ ἀπάντησις

Τὴν ἐπιστολὴν ταύτην ἐξέδομεν κατὰ τὴν ὑπόσχεσίν ἡμῶν (σελ. 7) πρὸς συμπλήρωσιν τῶν παρὰ Δοσιθέου ἐκδεδομένων ὡς ἀνέκδοτον, ἂν μὴ εὑρεθῶμεν ἀπατηθέντες ἀπάτην οὐχ οὕτω σπανίαν ἐπὶ τῶν νῦν μάλιστα χρόνων, ὅτε πανταχόθεν βίβλοι παντοδαπαὶ βρύουσι. Καὶ γὰρ καὶ ὁ περικλεὴς Νώροβος ταὐτὸ πέπονθεν ἐν τοῖς προμνησθεῖσι (σελ. 49) ἀνεκδότοις. Ἐν γὰρ τούτοις ἐκδέδωκε τὰς ἑξῆς ἑπτὰ πραγματείας. α) Μάρκου τοῦ Ἐφέσου τοῖς ἁπανταχοῦ τῆς γῆς κτλ. β) Τοῦ αὐτοῦ Κεφάλαια παραινετικά. γ) Τοῦ αὐτοῦ πρὸς τὸν Σχολάριον. δ) Ἀπόκρισις τοῦ Σχολαρίου. ε) Ἀπολογία τοῦ ἁγιωτάτου Μητροπολίτου Ἐφέσου Μάρκου. ς) Γενναδίου μονῳδία ἐπικήδειος ἐπὶ τῷ μακαριωτάτῳ πατρὶ Μάρκῳ Ἐφέσου. ζ) Σχολαρίου στίχοι ἐπιτύμβιοι εἰς τὸν ἁγιώτ. ἀρχιεπίσκ. Ἐφέσου. Ἀλλὰ τούτων μόνον τρία εἰσὶν ἀνέκδοτα, ὅσον ἡμεῖς γινώσκομεν, τὰ β, ς καὶ ζ. Τὰ γὰρ λοιπὰ τέσσαρα προεκδέδονται τῷ 1698 ἐν Ἰασίῳ ἐπὶ τῷ αὐτῷ σκοπῷ, ἤτοι ἐπ' ἐλέγχῳ τῶν συκοφαντούντων τόν τε Μάρκον καὶ τὸν Γεννάδιον, ὑπὸ τοῦ ἀκαμάτου Δοσιθέου τοῦ Ἱεροσολύμων ἐν Τόμῳ Ἀγάπης· τὸ μὲν α, σελ. 581–586 (τούτου δὲ ἡ ἀρχὴ μέχρι τοῦ «τὴν προσθήκην ἐξενεγκόντες» κεῖται καὶ ἐν Τόμῳ Χαρᾶς (σελ. 631) ἐν οὐ δέοντι, ἢ διὰ τὴν τῶν χειρογράφων συντάραξιν, ἢ γοῦν δι' ἀπροσεξίαν τῶν ἐκτυπούντων τὸ τεῦχος)· τὸ δὲ γ. σελ. 26–27, ἐν τοῖς προλεγομένοις, τὸ δὲ δ, αὐτόθ. σελ. 28. καὶ τὸ ε, σελ. 26. Ἐπειδὴ δὲ ὑπάρχουσιν ἐν αὐτοῖς πολλαὶ διαφοραί, καλὸν ᾠήθημεν σημειώσασθαι ταύτας, τὰ μὲν χωρία κατὰ τὰς τοῦ Νωρόβου σελίδας καὶ στίχους ὁρί-

---

(βλ. Τόμ. Ἀγάπ. σελ. 529–540) περιέχει καὶ τὰς νεωτέρας λεπτολογίας, συγκεχυμένας ὅμως καὶ δεικνυούσας ὅτι, οὐδ' αὐτοὶ τοῦ πάπα οἱ πρεσβευταὶ διὰ τῶν λίαν ἐκτενῶν πληροφοριῶν, ὡς ὁ Ἐνετὸς πρεσβευτὴς λέγει (βλ ἐνθ. ἀνωτ. σελ. 66. σημ.), οὐκ ἠδυνήθησαν σαφῶς διδάξαι, ἴσως οὐδ' αὐτοὶ σαφῶς διδαχθέντες, τὸ φυσικὸν τῆς διορθώσεως! Σημείωσαι δ' ὅτι, ἡ κατὰ τὸ αφηγ'. ἐν Κωνσταντινουπόλει πρὸς ἐπικύρωσιν τοῦ ἐν Ῥωσσίᾳ Πατριαρχείου συγκροτηθεῖσα σύνοδος πρὸς τοῖς ἄλλοις διὰ τοῦ η. κανόνος ἐπικυροῦσα τὸν Α'. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου ἀπέβαλε τὴν καινοτομίαν ταύτην (Βλ. Τόμ. Ἀγαπ. σελ. 547. Δοσιθ. περὶ τῶν ἐν Ἱεροσ. Πατριαρχ. σελ. 1169).

ζοντες, τὰς δὲ ἐν τοῖς ἄλλοις διαφόρους γραφὰς ἐπιτάσσοντες διὰ τῶν ἀρκτικῶν Α. καὶ Χ., προστιθέντες δὲ καὶ τὰς ἐξ ἀμφοτέρων δοκούσας ἡμῖν διορθώσεις τῶν διορθώσεως χρῃζόντων. Καὶ δὴ Σελ. 22. στίχ. 1. μετὰ τὸ *νήσων* ἐν Α. προστέθειται *εὑρισκομένοις* λεῖπον ἐν Χ, ἔνθα προτάσσεται τῆς ἐπιγραφῆς *τοῦ ἁγίου τοῦ Ἐφέσου*. – ςίχ. 11 πρὸ τοῦ «Βαβυλώνιοι» ἐν Α. προστέθ. «καὶ», λεῖπον ἐν Χ. – ςίχ. 12· ἀντὶ «τε», ὅπερ ἔχει καὶ Χ, ἐν Α. κεῖται «ποτέ». — ςίχ. 13. μετὰ τὸ «καλούμενοι» ἐν Α. καὶ Χ. προστέθειται «δ' οὖν», — Σελ. 24 στίχ. 5 πρὸ τοῦ «ἦν» προστέθ. ἐν Α. «καὶ», λεῖπον ἐν Χ. (καίτοι ἀναγκαῖον δοκεῖ) — ςίχ. 9—10 ἀντὶ «τῆς περὶ τοῦ .... ἐκπορεύσεως» Χ. «τῆς περὶ τῆς τοῦ.... ἐκπορ.», Α. «τῇ περὶ τοῦ» ἄνευ τοῦ *ἐκπορεύσεως* (ὀρθότερον ἴσως τὸ τρίτον, εἰ μήπου συμφωνότερον τοῖς κειμένοις λογισθείη τὸ «τῇ περὶ τῆς τοῦ .... ἐκπορεύσεως). — στ. 17. «τὸ ὕδατος» λείπει ἐν Α. κεῖται δ' ἐν Χ. –στίχ. 21. ἀντὶ «σήμερον» Α. καὶ Χ. «σημεῖον» (ὀρθότερον). – στίχ. 23. ἀντὶ «δεδομένοις» Α. καὶ Χ. «παραδεδομένοις» (ὀρθότερον· τὸ δὲ χωρίον οὕτω στικτέον· «καὶ πῶς .... (τοῦτο.... συνεφώνησαν) καὶ μὴ... ἀκολουθοῦντες;»). –στίχ. 24 ἀντὶ «φασὶν» Α. καὶ Χ. «φησὶν»– Σελ. 26. στίχ. 10 ὁ μετὰ τὸ «ἧττον» *καὶ*, κείμενος κἀν Χ. λείπει ἐν Α. – στίχ. 14–15 τὸ «φησι» λείπει ἐν Α. τὸ δὲ «τὸ πνεῦμα» κεῖται μετὰ τὸ «λέγομεν», λείπουσι δὲ καὶ τὰ «εἰ δὲ .... λέγομεν», ἐν δὲ τῷ Χ. ἔχουσιν ὅπως κἀν Νωρ. — στίχ· 18 τὸ «φησὶ» κείμενον κἀν Χ. λείπει ἐν Α. –ςίχ. 19, τὸ «τοῦτο» κείμενον κἀν Χ. ἐν Α. *εἰς* «τούς» ἔσφαλται (διορθωτέον δ' οὖν τὸ δυσνόητον χωρίον εἰς «παρ' αὐτῶν ἐκεῖνοι»). – στ. 22. ἀντὶ «ὀφείλομεν», ὅπερ ἔχει καὶ Α, ἐν Χ. κεῖται «ὠφείλομεν» (ὀρθότερον). – Σελ. 28. στίχ. 2. ἀντὶ «ἔχοντας» Α. ἔχοντες (κακῶς). – στίχ. 4. ἀντὶ «εἰ μὴ» Α. «μὴ» (ὀρθότερον). – στίχ. 10 τὸ «οἱ Λατῖνοι» λείπει ἐν Α. – στίχ. 15. τὰ «οὐκ εὔδηλον.... ὄντας» ἐκπεπτώκασι τοῦ Α· – στίχ. 19 τὰ «*καὶ συνήθ*.» λείπουσιν ἐν Α. – Σελ. 30. στίχ. 2 τὸ «ὅτι» λείπει ἐν Α.– στίχ. 3. ὡσαύτως καὶ τὸ «Ἀντιο-

γείας» καὶ τὸ «ἐρώτησις.» – στίχ. 8. καὶ τὸ «ἀπόκρισις», ἀντὶ δ' «ἐκχωρητέον» ἐν Α. «ἐγχωρητέον» (ἴσ. δὲ γρ. συγχωρητέον). – στίχ. 11 πρὸ τῆς «ἐκ» ἐν Α. κεῖται «ἥτις» καὶ μετὰ τὸ «τῶν» προστέθ. «ἑτέρων». – στ. 12. ἀντὶ «ἀποσχοινισθὲν» ἐν Α. κεῖται «ἀποσχισθεῖσα». – στ. 14 μετὰ τὸ «ταῖς» προστέθ. ἐν Α. «θείαις ἱεροτελεστείαις τῆς κοινῆς τῶν πατριαχικῶν», καὶ ἀντὶ «ἀναφοραῖς» κεῖται «ἀναφορᾶς».–ςίχ. 15 ἀντὶ «οὔτ'» ἐν Α. κεῖται «οὐκ» (ὅλον δὲ τὸ ἐν ἀμφοτέροις ἀδιανόητον χωρίον διὰ τὴν τῶν ἀντιγραφέων ἀβλεψίαν οὕτω μοι δοκεῖ ἀναπληρωτέον καὶ διορθωτέον ἐξ ἀμφοτέρων. «Ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς ἐκκλησίας, τῆς 'Ρώμης φαμέν, τὸ περιώνυμον ἄθροισμα· *ἥτις ἐκ τῆς τῶν ἑτέρων τεσσάρων ἁγιωτάτων πατριαρχῶν κοινωνίας ἀποσχισθεῖσα* ἀπεσχοινίσθη εἰς ἔθη καὶ δόγματα τῆς καθολικῆς ἐκκλησίας καὶ τῶν ὀρθοδόξων ἀλλότρια (διὰ γὰρ τοῦτο οὔτε ἐν *ταῖς θείαις ἱεροτελεστείαις τῆς κοινῆς τῶν πατριαρχικῶν* ὀνομάτων ἀναφορᾶς ὁ πάπας ἠξίωται)· οὐκ ὀφείλει γένος λατινικὸν» κτλ. οὕτω δὲ καὶ πολλὰ περὶ τὴν σύνταξιν ἀσυνάρτητα, καὶ πολλαὶ πρός τε τὰ ἡγούμενα καὶ ἑπόμενα τοῦ λόγου καὶ τὸ πνεῦμα τοῦ λέγοντος ἀντιφάσεις ἐξορίζονται· εἰ δέ μοι ἐξῆν ἐκ τῆς λοιπῆς συνταράξεως τοῦ χωρίου καὶ τὰ «τὸ περιώνυμον ἄθροισμα», μετατεθεῖσθαι τῆς μετὰ τὸ «ἀπεσχίσθη» θέσεως ὑποθέσθαι, σαφέστερον ἂν ἦν πολλῷ τὸ χωρίον). – στ. 19. τὸ *ὅτι* λείπει ἐν Α.–στίχ. 20 ἀντὶ τῶν *ὀρθοδόξων* Α. ἔχει *τῆς Ἐκκλησίας* (ἴσως δὲ τὸ πρωτόγραφον εἶχεν ἀμφότερα, ὡς ἀνωτέρω στ. 13)· λείπουσι δ'ἐν Α. τὰ «τὰ δὲ τῶν ὀρθ. ἄλλ.» (διὰ τὸ ὁμοιόληκτον ἐκπεπτωκότα, ὡς ἔοικεν, ἀβλεψίᾳ τοῦ ἀντιγραφέως)–στ. 21. ἀντὶ *ὀφείλουσι* Α. ἔχει *ὀφείλει*.– στίχ. 24. τὰ «τοσοῦτ. χρ. καὶ ὑπὸ» ἐκπεπτώκασι τοῦ Α. —Σελ. 32. στίχ. 2 ἀντὶ *αἱρετικῶν* Α. ἔχει *αἱρετικὴν* – στίχ. 5 λείπει τὸ *καλῶς* ἐν Α. (ἐκπεπτωκὸς)– στ. 7. μετὰ τὸ «*ἀπατῆσαν*» Α. ἔχει *καὶ πεῖσαν ἀκολουθεῖν* (ἀναγκαῖον διὰ τὴν ἑπομένην δοτ. *τοῖς ἀπάγουσι*). – Σελ. 34. στίχ. 1. ἐν Α. τὸ *τούτων* κεῖται μετὰ τὸ *μέσον*. – στίχ. 4. ἀντὶ «δὲ» Α.

ζοντες, τὰς δὲ ἐν τοῖς ἄλλοις διαφόρους γραφὰς ἐπιτάσσοντες διὰ τῶν ἀρκτικῶν Α. καὶ Χ., προστιθέντες δὲ καὶ τὰς ἐξ ἀμφοτέρων δοκούσας ἡμῖν διορθώσεις τῶν διορθώσεως χρηζόντων. Καὶ δὴ Σελ. 22. στίχ. 1. μετὰ τὸ *νήσων* ἐν Α. προστέθειται *εὑρισκομένοις* λεῖπον ἐν Χ, ἔνθα προτάσσεται τῆς ἐπιγραφῆς *τοῦ ἁγίου τοῦ Ἐφέσου*. – ςίχ. 11 πρὸ τοῦ «Βαβυλώνιοι» ἐν Α. προστέθ. «καὶ», λεῖπον ἐν Χ. – ςίχ. 12· ἀντὶ «τε», ὅπερ ἔχει καὶ Χ, ἐν Α. κεῖται «ποτέ». — ςίχ. 13. μετὰ τὸ «καλούμενοι» ἐν Α. καὶ Χ. προστέθειται «δ' οὖν», — Σελ. 24 στίχ. 5 πρὸ τοῦ «ἦν» προστέθ. ἐν Α. «καὶ», λεῖπον ἐν Χ. (καίτοι ἀναγκαῖον δοκεῖ) — ςίχ. 9—10 ἀντὶ «τῆς περὶ τοῦ .... ἐκπορεύσεως» Χ. «τῆς περὶ τῆς τοῦ.... ἐκπορ.», Α. «τῇ περὶ τοῦ» ἄνευ τοῦ *ἐκπορεύσεως* (ὀρθότερον ἴσως τὸ τρίτον, εἰ μήπου συμφωνότερον τοῖς κειμένοις λογισθείη τὸ «τῇ περὶ τῆς τοῦ .... ἐκπορεύσεως). — στ. 17. «τὸ ὕδατος» λείπει ἐν Α. κεῖται δ' ἐν Χ. –στίχ. 21. ἀντὶ «σήμερον» Α. καὶ Χ. «σημεῖον» (ὀρθότερον). – στίχ. 23. ἀντὶ «δεδομένοις» Α. καὶ Χ. «παραδεδομένοις» (ὀρθότερον· τὸ δὲ χωρίον οὕτω στικτέον· «καὶ πῶς .... (τοῦτο.... συνεφώνησαν) καὶ μὴ... ἀκολουθοῦντες;»). –στίχ. 24 ἀντὶ «φασὶν» Α. καὶ Χ. «φησὶν» – Σελ. 26. στίχ. 10 ὁ μετὰ τὸ «ἧττον» *καί*, κείμενος κἀν Χ. λείπει ἐν Α. – στίχ. 14–15 τὸ «φησι» λείπει ἐν Α. τὸ δὲ «τὸ πνεῦμα» κεῖται μετὰ τὸ «λέγομεν», λείπουσι δὲ καὶ τὰ «εἰ δὲ .... λέγομεν», ἐν δὲ τῷ Χ. ἔχουσιν ὅπως κἀν Νωρ. — στίχ· 18 τὸ «φησὶ» κείμενον κἀν Χ. λείπει ἐν Α. –ςίχ. 19, τὸ «*τοῦτο*» κείμενον κἀν Χ. ἐν Α. *εἰς* «*τοὺς*» ἔσφαλται (διορθωτέον δ' οὖν τὸ δυσνόητον χωρίον εἰς «παρ' αὐτῶν ἐκεῖνοι»). – στ. 22. ἀντὶ «ὀφείλομεν», ὅπερ ἔχει καὶ Α, ἐν Χ. κεῖται «ὠφείλομεν» (ὀρθότερον). – Σελ. 28. στίχ. 2. ἀντὶ «ἔχοντας» Α. ἔχοντες (κακῶς). – στίχ. 4. ἀντὶ «εἰ μὴ» Α. «μὴ» (ὀρθότερον). – στίχ. 10 τὸ «οἱ Λατῖνοι» λείπει ἐν Α. – στίχ. 15. τὰ «οὐκ εὔδηλον.... ὄντας» ἐκπεπτώκασι τοῦ Α· – στίχ. 19 τὰ «*καὶ συνήθ.*» λείπουσιν ἐν Α. – Σελ. 30. στίχ. 2 τὸ «ὅτι» λείπει ἐν Α. – στίχ. 3. ὡσαύτως καὶ τὸ «Ἀντιο-

γείας» καὶ τὸ «ἐρώτησις.» – στίχ. 8. καὶ τὸ «ἀπόκρισις», ἀντὶ δ' «ἐκχωρητέον» ἐν Α. «ἐγχωρητέον» (ἴσ. δὲ γρ. συγχωρητέον). – στίχ. 11 πρὸ τῆς «ἐκ» ἐν Α. κεῖται «ἥτις» καὶ μετὰ τὸ «τῶν» προστέθ. «ἑτέρων». – στ. 12. ἀντὶ «ἀποσχοινισθὲν» ἐν Α. κεῖται «ἀποσχισθεῖσα». – στ. 14 μετὰ τὸ «ταῖς» προστέθ. ἐν Α. «θείαις ἱεροτελεστείαις τῆς κοινῆς τῶν πατριαχικῶν», καὶ ἀντὶ «ἀναφοραῖς» κεῖται «ἀναφορᾶς».–σίχ. 15 ἀντὶ «οὔτ'» ἐν Α. κεῖται «οὐκ» (ὅλον δὲ τὸ ἐν ἀμφοτέροις ἀδιανόητον χωρίον διὰ τὴν τῶν ἀντιγραφέων ἀβλεψίαν οὕτω μοι δοκεῖ ἀναπληρωτέον καὶ διορθωτέον ἐξ ἀμφοτέρων. «Ἐπεὶ οὖν πρὸ χρόνων πολλῶν ἀπεσχίσθη τῆς δυτικῆς ἐκκλησίας, τῆς 'Ρώμης φαμέν, τὸ περιώνυμον ἄθροισμα· *ἥτις* ἐκ τῆς τῶν *ἑτέρων* τεσσάρων ἁγιωτάτων πατριαρχῶν κοινωνίας *ἀποσχισθεῖσα* ἀπεσχοινίσθη εἰς ἔθη καὶ δόγματα τῆς καθολικῆς ἐκκλησίας καὶ τῶν ὀρθοδόξων ἀλλότρια (διὰ γὰρ τοῦτο οὔτε ἐν *ταῖς θείαις ἱεροτελεστείαις τῆς κοινῆς τῶν πατριαρχικῶν* ὀνομάτων ἀναφορᾶς ὁ πάπας ἠξίωται)· οὐκ ὀφείλει γένος λατινικόν» κτλ. οὕτω δὲ καὶ πολλὰ περὶ τὴν σύνταξιν ἀσυνάρτητα, καὶ πολλαὶ πρός τε τὰ ἡγούμενα καὶ ἑπόμενα τοῦ λόγου καὶ τὸ πνεῦμα τοῦ λέγοντος ἀντιφάσεις ἐξορίζονται· εἰ δέ μοι ἐξῆν ἐκ τῆς λοιπῆς συνταράξεως τοῦ χωρίου καὶ τὰ «τὸ περιώνυμον ἄθροισμα», μετατεθεῖσθαι τῆς μετὰ τὸ «ἀπεσχίσθη» θέσεως ὑποθέσθαι, σαφέστερον ἂν ἦν πολλῷ τὸ χωρίον). – στ. 19. τὸ *ὅτι* λείπει ἐν Α.–στίχ. 20 ἀντὶ τῶν *ὀρθοδόξων* Α. ἔχει *τῆς Ἐκκλησίας* (ἴσως δὲ τὸ πρωτόγραφον εἶχεν ἀμφότερα, ὡς ἀνωτέρω στ. 13)· λείπουσι δ' ἐν Α. τὰ «τὰ δὲ τῶν ὀρθ. ἀλλ.» (διὰ τὸ ὁμοιόληκτον ἐκπεπτωκότα, ὡς ἔοικεν, ἀβλεψίᾳ τοῦ ἀντιγραφέως)–στ. 21. ἀντὶ *ὀφείλουσι* Α. ἔχει *ὀφείλει*.– στίχ. 24. τὰ «τοσοῦτ. χρ. καὶ ὑπὸ» ἐκπεπτώκασι τοῦ Α. —Σελ. 32. στίχ. 2 ἀντὶ *αἱρετικῶν* Α. ἔχει *αἱρετικὴν* – στίχ. 5 λείπει τὸ *καλῶς* ἐν Α. (ἐκπεπτωκὸς)– στ. 7. μετὰ τὸ «*ἀπατῆσαν*» Α. ἔχει *καὶ πεῖσαν ἀκολουθεῖν* (ἀναγκαῖον διὰ τὴν ἑπομένην δοτ. *τοῖς ἀπάγουσι*). – Σελ. 34. στίχ. 1. ἐν Α. τὸ *τούτων* κεῖται μετὰ τὸ *μέσον*. – στίχ. 4. ἀντὶ «δὲ» Α.

ἔχει *καὶ* (*κακῶς*) – στίχ. 6 ἀντὶ *φύρων* Α. *φέρων* (κακῶς). — Τὸ δὲ τοῦ Γρηγορίου χωρίον εἴληπται ἐκ τοῦ εἰς τὸν Μ. Ἀθανάσιον λόγου (Τόμ. Α. σελ. 388), ἔνθα ἔχει ὧδί· «Εἴτε τὸν Χαλάνης πύργον, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν (ὡς ὤφελόν γε κἀκείνας· ἐπὶ κακῷ γὰρ ἡ συμφωνία), εἴτε τὸ Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται, εἴτε τί ἄλλο τοιοῦτο τὴν σύνοδον ἐκείνην ὀνομαστέον, ἣ πάντα ἀνέτρεψε καὶ συνέχεε· τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς Τριάδος συνήγορον καταλύσασα τῷ βαλεῖν χάρακα καὶ μηχανήμασι κατασείσασα τὸ ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῶν γεγραμμένων μεσότητος, πρόφασιν μὲν αἰδοῖ της Γραφῆς καὶ τῆς τῶν ἐγκρίτων ὀνομάτων χρήσεως, τὸ δὲ ἀληθὲς τὸν ἄγραφον Ἀρειανισμὸν ἀντεισάγουσα· τὸ γὰρ ὅμοιον κατὰ τὰς Γραφὰς τοῖς ἁπλουστέροις δέλεαρ ἦν τῷ τῆς ἀσεβείας χαλκῷ περικείμενον, ἡ πρὸς πάντας ὁρῶσα τοὺς παριόντας εἰκών, ὁ κοινὸς ἀμφοτέρων *τῶν ποδῶν* κόθορνος, ἡ κατὰ πάντα ἄνεμον λίκμησις, ἐξουσίαν λαβοῦσα τὴν νεόγραφον κακουργίαν καὶ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν· σοφοὶ γὰρ ἐγένοντο εἰς τὸ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἔγνωσαν». Κατὰ ταῦτα δὲ τὸ στίχ. 9 *τῶν* μεταθετέον ἐν ἀμφοτέροις μετὰ τὸ *ἀμφοτέρων*. – στίχ. 12–13. τὰ «τῷ χαλκῷ.... μὲν οὖν» οὐ κεῖται ἐν Α. (ἐκπεπτωκότα· διορθωτέον δ' οὖν κατὰ τὸν Γρηγ. τὸ *εὐσεβείας* τὸ μετὰ τὸ *χαλκῷ* εἰς *ἀσεβείας*). – στίχ. 14. ἀντὶ «τῆς... ἐξευρούσης.... δου» Α. ἔχει «τὴν ἐξευροῦσαν.... *δον*» (κακῶς) – στίχ. 17. ἀντὶ τὸ *συνέδριον* Α «τῷ συνεδρίῳ» (ἐσφαλμένως). — στίχ. 22. μετὰ τὸ «γεγραμμένον» ἐν Α. προστ. «καὶ λεγομένων» ἀντὶ δὲ *τοῦ* κεῖται *τὸ* (ἐκπεπτωκότος ἴσως τοῦ παρὰ Γρ. *εἰς*). – στίχ. 24. πρὸ τοῦ «ἱκανῶς» Α· ἔχει «*ὅτι* δὲ (ἴσ. γρ. *τε*) οὐκ ἔστιν ὅλως μεσότης» (ὅπερ ἀναγκαῖον δοκεῖ διὰ τὸν ἐπιφερόμενον *καί*). — Σελ. 36 στίχ. 3. ἀντὶ *οὐδ'* ἐν Α. *οὐκ* — στίχ. 4. ἐν Α. τὸ χωρίον ἔστικται μετὰ τὸ *ὅλως* (κρεῖττον). — στ. 11. τὰ «τοῦ Δαμασκηνοῦ καὶ» οὐ κεῖνται ἐν Α. — στίχ. 12. μετὰ τὸ «υἱοῦ» Α. ἔχει «*δὲ*» (παρέλκον), μὴ ἔχον τὰ «οὕτι . . . . λέγομεν»

(ἐκπεπτωκότ' ἀβλεψίᾳ τοῦ ἀντιγραφέως διὰ τὸ ὁμοίαρκτον τῶν προτάσεων). – στ. 16. ἀντὶ *ἐκβάλλοντες* Α. «ἐκβάλλουσιν». — στίχ. 23. μετὰ τὸ «ἀποφαίνονται» ἐν Α. προστ. «τιμᾷν γὰρ οὐ τὸ δίκαιον γράφοντες, *ἐπεὶ* καὶ ὀῤῥωδέοντες τοῦτο συνέθεντο» (ἐν ᾧ, εἰ μὴ νόθον, ἢ περιττεύει ὁ «γάρ», ἢ τρεπτέον τὸ «γράφοντες» εἰς «γράφουσιν»). –Σελ. 38. στ. 8. ἀντὶ *ταυτὸν* Α. *τὴν αὐτὴν*. — στίχ. 14. ἀντὶ «αὐτοῖς» Α. «αὐτῶν» (κακῶς) — στίχ. 18. μετὰ τὸ «τοὺς μὲν» Α. ἔχει «αὐτίκα». — στ. 20. ἀντὶ «αὐτοῖς» Α. ἔχει «αὐτοί» (ὀρθότερον) — στ. 21. ἀντὶ «ἀποδιδόασι» Α. ἔχει «ἀποδιδοῦσι». — Σελ. 42. στιχ. 1. μετὰ τὸ «χρηστολογίας» ἐν Α. προστέθ. «καὶ εὐλογίας», (ὅπερ καὶ Παῦλος ἔχει ἐν Ῥωμ. ιϛ'. 18). – στ. 2. τὸ «τῆς πίστεως» λείπει ἐν Α. μὴ κείμενον μηδὲ παρὰ Παύλῳ ἐν Β. Τιμόθ. β, 19, ἔνθα μετὰ τὸ « θεμέλιος » προστέθ. « τοῦ θεοῦ » ). — στ. 3. τὰ « καὶ ἀλλαχοῦ . . κατατομήν » οὐ κεῖνται ἐν Α. — στ. 8. ἀντὶ «ταύτην τὴν» (ὅπερ ἔχει καὶ ὁ Ἀπόστολος Β. Ἰωαν. 10—11) Α. ἔχει «τοιαύτην». — στ. 14. πρὸ τοῦ «πάντα» ἐν Α. προστέθ. «τὰ» — στ. 16. ἀντὶ «ἀπαλλάξας ὡς» Α. ἔχει «ἀπαλλάξεω τῶν» (ἀλλ. ἴσ. γρ. *ἀπαλλάξειε* τῶν) πρὸ δὲ τοῦ «οἷα» Α. ἔχει «καί». — Σελ. 53. στ. 1. ἡ ἐπιγραφὴ ἐν Α. ἔχει « Τοῦ αὐτοῦ πρὸς τὸν ἄρχοντα τὸν Σχολάριον ». — στ. 2. πρὸ τοῦ « λέγω » ἐν Α. κεῖνται τὰ « Εἰσί τινες ὕλαι παρὰ τοῖς φιλοσόφοις· εἰ καὶ τῶν τοιούτων ἐγὼ λήθην ἔχων, ὅμως λέγω μέτριόν τι· αἵ εἰσιν ὕλαι ταῖς ἀναλογούσαις τῶν ὑποθέσεων ἐφαρμοζόμεναι· ἐν αἷς ἐστι καὶ ἡ τοῦ ἐνδεχομένου, ὅπερ ἐπὶ πλεῖον ἐνδεχόμενόν ἐστιν ἐγγὺς τοῦ ἀναγκαίου· τοῦτο προσήκει καὶ τῇ ὑποθέσει τῶν παρόντων λόγων· λέγω δὲ περὶ τοῦ» κτλ. – στιχ. 3. ἀντὶ « ὅτι οἶδα αὐτὸν ἐξ » Α. ἔχει« ὃν εἶδον ἀλλ'». — στ. 4. μετὰ τὸ « ἀγάπην » ἐν Α. προστέθ· « πολλήν », λείπει δὲ τὸ «στέργω αὐτὸν» (ἐκπεπτωκός). — στιχ. 6. ἀντὶ «ἐν τῷ ἐγγίζ. τὴν τελ. μου» Α. ἔχει «ἀνακινούμενος (γρ. ἀνακοιν.) καὶ ὁμιλῶν»– στ. 7. ἀντὶ «ἔχω» Α. «ἔσχον» – στ. 8. ἀντὶ «πιστεύω»

Α. «πιστεύων» (κακῶς). — στ. 11. πρὸ τοῦ «δογμάτων» ἐν Α. προστέθ. «θείων». — στιχ. 12. ἀντὶ «διορθώσασθαι» Α. «ὀρθώσασθαι» — στ. 13. λείπει ἐν Α. τὸ «μὴ», ἀντὶ δὲ «ἀπίστου» κεῖται «καιροῦ» (ὀρθότερον). — στ. 14. πρὸ τοῦ «λύχνον» Α. ἔχει «μὴ» — στ. 17. ἀντὶ τοῦ ἀδιανοήτου «ἐπείσθη νοῦς» Α. ἔχει (ὀρθότατα) «ἐπ' ἀσθενοῦς». — στ. 18. τὸ «μὴ» λείπει ἐν Α. (ἐκπεπτωκὸς). —Σελ. 56. στ. 1. ἀντὶ «εἰ καὶ ἀνθρωπίνων» Α. ἔχει «ἢ καὶ ἀνθρώπων» (ὀρθότερον). — στ. 2. μετὰ τὸ «πρότερον» ἐν Α. προστέθ. «μὲν» — στιχ. 4. ἀντὶ «ὄντος τί» Α. ἔχει «ὅτι» (κακῶς). — στίχ. 6. ἀντὶ «τούτου» Α. «τοῦ ὅτι»(ὀρθότερον), καὶ ἀντὶ «ὅτι» ἔχει «ὅτε». (κακῶς). — στιχ. 8 μετὰ τὸ «μεταχειρίσασθαι» ἐν Α. προστέθ. «ὡς ἐκ τούτου ζημίαν ἐν ἄλλοις παθεῖν ἐπὶ μικρᾷ πάνυ τῇ ὠφελείᾳ, ὡς πολλάκις μοι ἐξηγήσατο καὶ συγγνώμην ἠτήσατο» (ἅπερ οὐ δοκοῦσι παρέλκοντα). — στίχ. 8 — 9. ἀντὶ «ἤδη... ἀπαλλάττω» Α. «ᾔδειν ... ἀπαλλάττων», μετὰ δὲ τὸ «ἄλλον» προστέθ. «δὲ», (ἀναγκαῖον διὰ τὸν ἀνωτέρω *μέν*), καὶ ἀντὶ «κατὰ τὸ» κεῖται «κατ' αὐτὸν τὸ». — στιχ. 10. ἀντὶ «ὀρθοδοξίας» Α. «κακοδοξίας» (ἐσφαλμένως). — στίχ. 13. ἀντὶ «ἀνακαλύψαι.... συμμαχῆσαι», Α. «ἀνακαλύψῃ ... συμμαχήσῃ» (ὀρθότερον). — στ. 15. ἀντὶ «τῇ ἐκ» Α. «τῇ τοῦ». — στ. 16. ἀντὶ «δέ», Α. «γαρ». — στίχ. 18. πρὸ τοῦ «θεῷ» ἐν Α. προστέθ. «τῷ» τὸ δὲ «καὶ τῇ πίστει» λείπει ἐν Α. (παρέλκον). — στ. 19. ἀντὶ «ἵν' ᾖ» Α. «ὢν» (κακῶς). —στ. 21. ἀντὶ «ἐκ» Α. «καί». — Σελ. 58. στ. 1. ἀντὶ «κοινωνῶν» Α· «κοινωνεῖν». — στ. 2. ὁ «καὶ» λείπει ἐν Α. — στ. 4. ἀντὶ «δὴ» Α. ἔχει «δὲ». — στ. 5. πρὸ τοῦ «συστάσεως» ἐν Α. κεῖται «τῆς». — στ. 6. ἀντὶ «τούτου» Α. ἔχει «τούτων». — στ. 7. πρὸ τοῦ «καὶ ἐμοὶ» Α. ἔχει «θεῷ» (ἀναγκαῖον ὄν). — στ. 7. ἀντὶ «ἀγῶνας» Α. ἔχει «λόγους» (κρεῖττον, ἔμοι γε δοκοῦν). — Σελ. 60· στ. 1. μετὰ τὸ «Σχολαρίου» προστέθ. ἐν Α. «πρὸς αὐτόν». — στ. 2. λείπει ἐν Α. ὁ «μὲν». — στ. 5. —

6. τὰ «καὶ ἀρετῆς» λείπουσιν ἐν Α. ὡς καὶ τὰ «ἐξ ἀρχῆς» — στ. 10. μετὰ τὸ « δόγμασι » προστέθ. ἐν Α. « ἀκριβείας » ( ἀναγκαῖον ὄν ). — στ. 11. ἀντὶ « τὴν σὴν ἀνενδοιάστως» Α. ἔχει « εἴη συνανενδιάστως;» ( ἀλλ' ἴσ. γρ. « εἴη σὴν ἀνενδοιάστως;» ), πρὸ δὲ τοῦ «τὴν τοῦ» προστέθ. ἐν Α. «καί ». — στ. 13. ἀντὶ « ἀπηξίωσας » Α. ἔχει « ἀπηξίωσα » ( ὀρθότερον ). — στ. 15. ἀντὶ «προσέρχομαι» Α. «προσηρχόμην» (ὀρθότερον, κατά γε τὴν τοῦ λόγου σειράν ). — στ. 17. μετὰ τὸ «ὅτι» Α. ἔχει «καὶ», ἀντὶ δὲ τοῦ «πιστῶν» ἔχει «καιρῶν» ( ὀρθότερον). — στ. 18. τὸ « ἀγῶνας » λείπει ἐν Α. — στ. 19. ἀντὶ « παρέρχομαι » Α. ἔχει « παρηρχόμην » ( ὀρθότερον). — καὶ ἀντὶ « τούτοις » ἔχει « τούτους » ἄνευ στίξεως ἐν τῷ « λόγους ». — στ. 21. ἀντὶ « τούτου σοι ἀνεκάλυψα » Α. ἔχει «τούτους σοι ἀνακάμψας» (κακῶς) — στ. 22. ἀντὶ «συγγνώμης» Α. «σῆς γνώμης». — Σελ. 62 στ. 3 ἀντὶ «ἁγιωσύνης» Α. «ἁγιότητος». — στ. 5. ἀντὶ «ἀπαίροντα» Α. «ἀπαίρουσαν» (ὀρθότερον ). — στ. 17. ἀντὶ « ἐπεξεργάσασθαι » Α. « ἐπεργάσασθαι » ( ἀλλ' ἴσ. γρ. « ἐπεξεργάσεσθαι » κατὰ τοὺς προηγουμένους μέλλοντας χρόνους). — στ. 8. ἀντὶ «αὐτοῦ» Α. «σεαυτῷ » (ὀρθότερον οἶμαι). — στ. 9. μετὰ τὸ «ἀναπαύσεως» ἐν Α. προστέθ. «διὰ ἡμετέραν ἴσως ἀναξιότητα ἔνθα εἶ αὐτός, ἄξιος ἀπέλθῃς» (ἀλλ' εἰ μὴ καὶ ταῦτα νόθα, ἴσ. γρ. « ἀναξιότητα, ἔνθα .... ἄξιος, ἀπέλθοις ») — στ. 11. ἀντὶ «καθευρεθέντων» Α. ἔχει «παρευρεθέντων». — στ. 12. πρὸ τοῦ «σοῦ» ἐν Α. προστέθ. «τοῦ». — στ. 16. ἐν Α. λείπει ὁ «καὶ» ὁ μετὰ τὸ «εἶ». — στ. 19. ἀντὶ «ταῦτα» Α. «τὰ τοιαῦτα». — Σελ. 64. στ. 1—3. ἐν Α. ἡ ἐπιγραφὴ ἔχει ὡδί· « Μάρκου τοῦ Ἐφέσου ἀπολογία ῥηθεῖσα ἐν τῇ τελευτῇ αὐτοῦ ». — στ. 6. ἀντὶ « δόξω » Α. «δόξῃ». — στ. 7. ἀντὶ «ὃ εἰκὸς ἦν» Α. «εἰκὸς οὖν». — στ. 8. ἀντὶ «ἀναλύσεως» Α. ἔχει «τελευτῆς». — στ. 11. ἀντὶ «ἄλλως» Α. «ἄλλου» (ἀλλ' ἴσ. γρ. «ἄλλον»). — στ. 16. ἀντὶ «ἐμόν» Α. «ἐμοῦ». — στ. 18. τὰ «οὔτε δέχομαι » λείπουσιν

ἐν A. — στ. 20. ἀντὶ «τῆς ζωῆς» A. «τῇ ζωῇ» (κακῶς) καὶ ἀντὶ «θάνατον» A. «τὸν θάνατόν μου». — Σελ. 66. στ. 4. ἀντὶ «αὖ . . . τοὺς συντιθεμένους . . . ἀποδιίστασθαι» A. ἔχει «ἂν ... τοῖς συντεθειμένοις ἀποδιίσταμαι». (ὅπερ ὀρθότερον ἂν εἴη, εἰ μόνον γραφείη «πείθωμαι» ἀντὶ «πείθομαι»). — στ. 5. πρὸ τῆς «διὰ» A. ἔχει «καὶ». – στ. 8. ἀντὶ «ἐξορκῶν» A. «ἐξ ὅρκου». — στ. 9. πρὸ τοῦ «τοῖς» A. ἔχει «ἐν». — στ. 10. ἀντὶ «ἡμῶν» A. «αὐτῶν» (κακῶς). – στ. 12. 13. ἀντὶ «ἐκείνους;... κεχωρισμένους» A. «ἐκείνοις ... κεχωρισμένοις» (κακῶς).

Τῶν δὲ ἐν τοῖς Παραινετικοῖς (ἃ πολλὴν τὴν ὁμοιότητα ἔχουσι πρὸς τὰ ἐν τῇ Φιλοκαλίᾳ τῶν ἱερῶν νηπτικῶν ἐκ διαφόρων Πατέρων συνερανισθέντα) καὶ τῇ ἐπικηδείῳ Μονῳδίᾳ ἐσφαλμένων ἄλλως τε καὶ κατὰ τὴν στίξιν, καὶ διορθώσεως ἐπιδεῶν δοκούντων, σημειοῦμεν ὀλίγα ἐκ πολλῶν, τὰ μᾶλλον τὸν ἀναγνώστην ταράττοντα, καθυποβάλλοντες καὶ τὴν ἡμετέραν περὶ διορθώσεως αὐτῶν γνώμην. Αὐτίκα. — Σελ. 44. στ. 13. τὸ «πληρωμένη» διορθωτ. ἢ «πληρουμένη», ἢ γοῦν «πεπληρωμένη». — Σελ. 46. στ. 11. τὰ «καὶ τοῦ» κτλ. οὐχ οὕτω σαφῆ, καὶ ἴσ. διορθ. «διὰ τοῦ». — Σελ. 48. στ. 3. Τὸ «βοηθῆσαι» διορθ. «βοηθεῖσαι». — στ. 18. γρ. «σε» ἀντὶ «σοι» διὰ τὸ «προσδέξηται. — Σελ. 50. στ. 1. Τὰ «λέοντα καὶ δράκοντα» διορθ. «λέοντι καὶ δράκοντι», εἰμὴ ἐκπέπτωκεν ἡ πρὸ αὐτῶν «πρὸς». — στ. 17. ἐκπεπτωκέναι δοκεῖ τὸ, ἐξ οὗ τὸ ἀπαρέμφατον «γενέσθαι» ἐξήρτηται, ῥῆμα «βούλει» ἢ «θέλεις», κατὰ τὸ Σελ. 44. στ. 6. — στ. 12. τὸ «ἤθιε» οὐδὲν σημαίνει, παραφθαρὲν ἴσως ἐκ τοῦ «ἴθι» ἢ «δεῆθητι», ἤ τινος τοιούτου. — Σελ. 52. στ. 4. ὁ πρὸ τοῦ «παραῤῥέον» «καὶ» παρέλκων δοκεῖ καὶ ἐξαλειπτέος. — Σελ. 74. στ. 2. τελείαν δοκεῖ στικτέον μετὰ τὸ «ἐβάδισαν». — στ. 9. τὸ «ἀκολουθήσομεν» διορθωτ. «ἀκολουθήσωμεν» διὰ τὸ προηγούμενον «ὡς ἂν», ὅπερ καὶ σελ. 72. στίχ. 25. ὑποτακτικῇ συντέταχε. — στ. 23. ἀντὶ «δεομένης» γρ. «δεομένοις» διὰ τὸ προηγηθὲν «πράγμασι». — Σελ. 76. στ. 4. τὸ «συν-

εργήσασθαι» διορθ. ἢ « συνεργάσασθαι » ἢ «συνεργῆσαι». — Σελ. 78. στ. 6. μετὰ τὸ « αἰδώς » ἀντὶ κόμματος στικτέον ἢ τελείαν, ἢ κῶλον· τὰ γὰρ ἑπόμενα συγκεφαλαίωσις τῶν εἰρημένων ἐστὶ μετὰ δεινώσεως. — στ. 15 — 17. ἀδιανόητον τὸ χωρίον, καὶ διορθωτέον καθ' ἡμᾶς τὸ « ποτέ » διὰ τοῦ «πεῖραν», ἕνεκα τοῦ « λαβόντες ». στικτέον δὲ κόμμα ἀντὶ τελείας μετὰ τὸ «ἐξημάρτομεν», ἵνα μὴ κεκερματισμένον ἀκατανόητον γένηται τὸ χωρίον. — στ. 19. ὁ « τὲ » ὁ μετὰ τὸ « ταύτῃ » παρέλκειν δοκεῖ. — στ. 21· ἀντὶ « ἐπαινέτην » γρ. « ἐπαινέτῃ » κατὰ τὰ προηγούμενα «οὐ χρησόμεθά σοι συμβούλῳ». —Σελ. 82 στ. 6. ἀντὶ «δὲ ἔπρεψεν .. δὲ ἔλαμψεν» γρ. «διέπρεψ... διέλαμψεν». — στ. 16. ἀντὶ «ὑπέρ τις» γρ. «εἴπερ τις». — στ. 19. μετὰ τὸ « ἢ » στικτέον κόμμα, τὰς δὲ λοιπὰς στιγμὰς ἐξαιρετέον πλὴν τῆς μετὰ τὸ « θελήσεως». —Σελ. 84. στ. 21. -26. ἀντὶ «τε» γρ. «μή» κατὰ τὸ Σοφ. Σολ. δ', 11· κακῶς δὲ ὁ XVI τέτμηται παράγραφος, ἀφεὶς ἀσυμπλήρωτον τὸν προηγούμενον· ὅλον δὲ τὸ χωρίον οὕτως ἀναγνωστέον δοκεῖ· «τῶν χειρῶν, οὐχ' ἵνα... (δευσοποιόν... φρονήματος), ἀλλ' ἵνα» κτλ. — στ. 27. ἀντὶ «μαρανθέντος» ἴσ. γρ. «μωρανθέντος» κατὰ τὰ Ματθ. ε, 13. Λουκ. ιδ, 34. — Σελ. 86. στ. 2. ἀντὶ τοῦ «ἄθαλοι» γρ. «ἀθαλεῖς». — στ. 23. ἀντὶ τοῦ «συμπαθεῖς» γρ. «ἀσυμπαθεῖς» διὰ τὸ πρὸς τὸ ἑπόμενον «ἀναλγήτους;» ἀπροσδιόνυσον τοῦ κειμένου. — Προσθετέον δ' ἡγοῦμαι ὅτι, ἡ ἐν δυσὶ τῆς Παρισιανῆς βιβλιοθήκης κώδηξι (427 καὶ 1593) κειμένη αὕτη Μονῳδία κεῖται κἂν τῷ 115 κώδηκι τῆς ἐν Μαδρίτῃ μετ' ἐπιγραφῆς «Τοῦ σοφοῦ Γεωργίου τοῦ Σχολαρίου Μονῳδία εἰς τὸν αἰδέσιμον κύριον Μάρκον τὸν Εὐγενικὸν τὸν Ἐφέσου». Βλ. Iriarte, Reg. Biblioth. Matritens. Cod. Gr. Mss. T. 1. p. 458. — Τὰς δειλὰς ἡμῶν ταύτας παρατηρήσεις καθυποβαλόντες εἰς τὴν κρίσιν τοῦ σοφοῦ Νωρόβου καὶ παντός, ὅστις φιλοθέως ἐκδώσει πάλιν τὰς πολυτίμους συγγραφὰς τῶν δύο τούτων γενναίων τῆς ὀρθοδοξίας προμάχων, οὐκ ἄτοπον νομίζομεν παρασημειώσασθαι ὅτι, καὶ ἡμεῖς ἐξέδομεν τῷ 1858 ἐν

ΒΙΒΛΙΟΘΗΚΗ ... ΣΤΙΑΤΑΛΑΟ

τοῖς Προλεγομένοις τῶν Ἀμφιλοχίων (σελ. κθ) τὸ τοῦ Πατριάρχου Νείλου πρὸς τὸν Πάπαν Οὐρβανὸν πιτάκιον ὡς ἀνέκδοτον, καίτοι (ὡς μετὰ ταῦτα εὕρομεν) ἐξεδεδώκει αὐτὸ τῷ 1791 ὁ Ἄλτερος ἐν τῷ Γεωργίου τοῦ Φραντζῆ Χρονικῷ (σελ. 149) ἐκ τοῦ αὐτοῦ κώδηκος. Ἐξ αὐτοῦ δ' ἐκδίδωσι νῦν τὰ διπλώματα καὶ τὰ πρακτικὰ τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου ὁ περικλεὴς Μικλόσιχ ἐν Βιέννῃ (Acta et diplomata patriarchatus Constantinopolitani), ὃς καὶ αὐτὸς (ἐν τῇ Slavische Bibliothec oder Beytraege zur slavischen Philologie und Geschichte. T. 1. p. 200—207. Wien, 1850) ἐξέδωκεν ὡς ἀνέκδοτον τὸ χρυσόβουλλον τοῦ Αὐτοκράτορος Ῥωμανοῦ, τὸ ἐν τῇ κατὰ τὸν Ἄθωνα εὐαγεστάτῃ Μονῇ τοῦ Ξηροποτάμου, ἐξ οὗ πρῶτος ὁ Βάσκιος (Gregorovvic Baskij) κατὰ τὸ 1744 ἐποίησεν ἐκεῖθεν ἀντιγράφου, ἀγνοῶν ὅτι τοῦτ' ἦν ἐκδεδομένον Ἀθήνησι τῷ 1838 ἐν τῇ Εὐαγγελικῇ Σάλπιγγι (Περίοδ. Γ. Τόμ. Α. σελ. 137–144), ἀτελέστερον ὅμως καὶ μετ' οὐκ ὀλίγων διαφορῶν, ἃς ἀπόκειται τοῖς σεβασμίοις πατράσι τῆς εἰρημένης Μονῆς καὶ παντὶ μέλλοντι ἐκδοῦναι πάλιν αὐτὸ παραβαλεῖν καὶ τελειοτέραν τὴν ἔκδοσιν καταστῆσαι. Τοσαῦτα περὶ ἐκδόσεων μακρότερον δήπου τοῦ δέοντος πολυλογήσασιν ἐφείσθω ἡμῖν χάριν συμπληρώσεως τῶν περὶ τῆς Ἀκολουθίας τοῦ ἁγίου Θεοφίλου ἔμπροσθεν (σελ. 5) σημειωθέντων προσθεῖναι καὶ ὅτι, Ἀκολουθία τοῦ αὐτοῦ ἁγίου καὶ τῷ 1819 ἐκδέδοται ἐν Βενετίᾳ ἐν τῷ Νέῳ Λειμωναρίῳ (σελ. 65—74), ποίημα οὖσα Νικηφόρου Ἱερομονάχου τοῦ Χίου καὶ πολλῷ προφερεστέρα τῆς τοῦ Κορεσσίου, ἐξ ἧς τυγχάνουσιν ἐν αὐτῇ συγκατειλεγμένα δώδεκα τροπάρια μετὰ τοῦ ὀνόματος τοῦ Κορεσσίου, ἔχοντα ὅμως πολλὰς διαφορὰς καὶ βελτιώσεις.

---

Σελ. 4. στ. 5. γρ. ἄλλα — Σελ. 6. στ. 16. γρ. Ἀθήνησι. — Σελ. 10. στ. 9. γρ. συμβάλλονται. — Σελ. 12. στ. 21. γρ. Ἐφεσ. — Σελ. 25 στ. 23. γρ. διηυθέτησε — Σελ. 31. στ. 29 γρ. «Ἠλιάδης». — Σελ. 32. στ. 20. γρ μεγαλεμπόρους. — Σελ. 34 στ. 34. γρ. παρισπούδαστα. — Σελ. 36. στ. 21. γρ. εὐχαριστίαν. — Σελ. 40. στ. 7. γρ. ἀοίδιμος — στ. 28. γρ. Γένισ. — Σελ. 42. στ. 9. γρ. ἀοίδιμος. — στ. 28. γρ. Empire. — Σελ. 48. στ. 8. γρ. ἀφηγ. — Σελ. 60. στ. 4. γρ ἐπινεύσοι.... προστάξοι. — Τῶν δὲ λοιπῶν παροραμάτων ἡ διόρθωσις ἀφίεται εἰς τὴν τοῦ ἀναγνώστου ἐπιείκειαν.

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΤΙΤΣ

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΤΑΠΣ